## Onomasticon

## Εὐσεβίου τοῦ Παμφίλου ἐπισκόπου. Καισαρείας τῆς Παλαιστίνης περὶ τῶν τοπικῶν ὀνομάτων τῶν ἐν τῇ θείᾳ γραφῇ.

Ὥσπερ ἐν προοιμίῳ τῆς ὑπὸ σοῦ προτεθείσης ὑποθέσεως, ἱερὲ τοῦ θεοῦ ἄνθρωπε Παυλῖνε, ἐν τῷ πρὸ τούτου τὰς ἐπηγγελμένας ὑποθέσεις ἀποδούς, καὶ πρῶτα μὲν τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν ἐπὶ τὴν Ἑλλάδα φωνὴν μεταβαλὼν τὰς ἐν τῇ θείᾳ γραφῇ κειμένας Ἑβραίοις ὀνόμασι προσρήσεις, ἔπειτα τῆς πάλαι Ἰουδαίας ἀπὸ πάσης βίβλου καταγραφὴν πεποιημένος, καὶ τὰς ἐν αὐτῇ τῶν δώδεκα φυλῶν διαιρῶν κληρουχίας, καὶ ἐπὶ τούτοις ὡς ἐν γραφῆς τύπῳ τῆς πάλαι διαβοήτου μητροπόλεως αὐτῶν, λέγω δὴ τὴν Ἱερουσαλήμ, τοῦ τε ἐν αὐτῇ ἱεροῦ τὴν εἰκόνα διαχαράξας μετὰ παραθέσεως τῶν εἰς τοὺς τόπους ὑπομνημάτων, ἑξῆς ἐν τούτῳ καὶ ἀκολούθως ἐκείνοις ὡς ἂν εἰς τὸ χρήσιμον τῆς ὅλης ὑποθέσεως προηυτρεπισμένοις τὴν σὴν ἐπισυνάψω πρόθεσιν, τῶν ἐπὶ τῆς θείας φερομένων γραφῆς πατρίῳ γλώττῃ πόλεων καὶ κωμῶν τὰς σημασίας ποίας τε χώρας εἶεν καὶ ὅπως αὐτὰς οἱ καθ' ἡμᾶς ὀνομάζουσιν, εἴτε τοῖς παλαιοῖς ὁμοίως εἴτε καὶ ἑτέρως μεταβάλλοντες, ἐκθέμενος. ἀπὸ πάσης μὲν οὖν τῆς θεοπνεύστου γραφῆς ἀναλέξω τὰ ζητούμενα, ἐκθήσομαι δὲ κατὰ στοιχεῖον ἕκαστα εἰς εὐχερῆ κατάληψιν τῶν σποράδην ἐν τοῖς ἀναγνώσμασιν ὑποπιπτόντων. Στοιχεῖον A. Γενέσεως. Ἀραράτ Gen 8, 4. ἡ Ἀρμενία· ἐν ὄρεσιν Ἀραρὰτ ἡ κιβωτὸς καθίσαι λέγεται, καί φασιν εἰς δεῦρο δείκνυσθαι ἐπὶ τῶν ὀρέων Ἀρ 4 μενίας λείψανα τῆς κιβωτοῦ. μέμνηται καὶ Ἱερεμίας τῆς Ἀραρὰτ ἐν τῇ κατὰ Βαβυλῶνος ὁράσει. καὶ Ἰώσιππος δὲ ἐν τῇ πρώτῃ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας τὰ περὶ τὸν τόπον ἱστορῶν παρατίθεται καὶ ἀπὸ τῶν ἔξω μάρτυρας, ὧδε ῥήμασιν αὐτοῖς γράφων· «μαθὼν» δὲ Νῶε «ἀπηλλαγμένην τὴν γῆν τοῦ κατακλυσμοῦ, μείνας ἄλλας ἑπτὰ ἡμέρας τά τε ζῷα τῆς λάρνακος ἐξαφίησιν, αὐτός τε μετὰ τῆς γενεᾶς προελθὼν καὶ θύσας τῷ θεῷ συνευωχεῖτο τοῖς οἰκείοις. ἀποβατήριον μέντοι τὸν τόπον τοῦτον Ἀρμένιοι καλοῦσιν. ἐκεῖ γὰρ ἀνασωθείσης τῆς λάρνακος ἔτι νῦν αὐτῆς οἱ περιχώριοι τὰ λείψανα δεικνύουσιν. τοῦ δὲ κατακλυσμοῦ τούτου καὶ τῆς λάρνακος μέμνηνται πάντες οἱ τὰς βαρβαρικὰς ἱστορίας ἀναγεγραφότες, ὧν ἐστὶ καὶ Βήρωσος ὁ Χαλδαῖος. διηγούμενος γὰρ τὰ περὶ τὸν κατακλυσμὸν οὕτω που διέξεισιν· λέγεται δὲ καὶ τοῦ πλοίου ἐν τῇ Ἀρμενίᾳ πρὸς τῷ ὄρει τῶν Κορδυαίων ἔτι μέρος τι εἶναι, καὶ κομίζειν τινὰς τῆς ἀσφάλτου ἀφαιροῦντας. χρῶνται δὲ μάλιστα οἱ ἄνθρωποι τῷ κομιζομένῳ πρὸς τοὺς ἀποτροπιασμούς. μέμνηται δὲ τούτων καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος, ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινικικὴν συγγραψάμενος, καὶ Μνασέας δὲ καὶ ἄλλοι πλείους. καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐνενηκοστῇ καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ περὶ αὐτῶν λέγων οὕτως· ἔστιν ὑπὲρ τὴν Μινυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, Βάρις λεγόμενον, ἐφ' ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι, καὶ τινὰ ἐπὶ λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. γένοιτο δ' ἂν οὗτος, ὅντινα καὶ Μωϋσῆς ἀνέγραψεν ὁ Ἰουδαίων νομοθέτης». Ἀχάδ Gen 10, 10. πόλις βασιλείας Νεβρὼδ ἐν Βαβυλῶνι. Ἀγγαί Gen 12, 8. κατὰ δυσμὰς Βαιθήλ. διεστήκασιν ἀλλήλων οὐ πλεῖστον. κεῖται δὲ ἡ Βαιθὴλ ἀπιόντων εἰς Αἰλίαν ἀπὸ Νέας 6 πόλεως ἐν λαιοῖς τῆς ὁδοῦ ἀμφὶ τὸ δωδέκατον Αἰλίας σημεῖον. καὶ ἡ μὲν Βαιθὴλ εἰς ἔτι νῦν μένει, ἡ δὲ Ἀγγαὶ τόπος ἔρημος αὐτὸ μόνον δείκνυται. καλεῖ δὲ αὐτὴν καὶ Γαὶ ἡ γραφή. Ἀσταρὼθ Καρναείν Gen 14, 5. χώρα γιγάντων ὑπὲρ τὴν Σοδομῖτιν, οὓς κατέκοψεν Χοδολλαγόμωρ. καί εἰσιν εἰς ἔτι νῦν δύο κῶμαι ἐπὶ τῆς Βαταναίας τῆς καὶ Βατολούας ἀλλήλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διεστῶσαι σημείοις θ´ μεταξὺ Ἀδάρων καὶ Ἀβίλης πόλεως. Ἀρβώ̣ Gen 23, 2̣. «αὕτη ἐστὶ Χεβρών», κώμη νῦν μεγίστη, μητρόπολις οὖσα τὸ παλαιὸν τῶν ἀλλοφύλων, καὶ γιγάντων οἰκητήριον, καὶ βασίλειον μετὰ ταῦτα Δαυίδ. κεκλήρωτο δὲ φυλῇ Ἰούδα, καὶ πόλις ἦν ἱερατική, μία τῶν φυγαδευτηρίων, Αἰλίας ἐκ νότου διεστῶσα σημείοις β´ πρὸς κ´. ἡ δρῦς Ἀβραὰμ καὶ τὸ μνῆμα αὐτόθι θεωρεῖται καὶ θρησκεύεται ἐπιφανῶς πρὸς τῶν ἐθνῶν ἡ τερέβινθος καὶ οἱ τῷ Ἀβραὰμ ἐπιξενωθέντες ἄγγελοι. πρότερον δὲ Ἀρβὼ καλουμένη ὕστερον ἐκλήθη Χεβρὼν ἀπὸ Χεβρών, ἑνὸς τῶν υἱῶν Χαλέβ, ὡς ἐν Παραλειπομέναις. Αἰλάμ̣ Gen. 14, 1̣. ἐν ἐσχάτοις ἐστὶ Παλαιστίνης παρακειμένη τῇ πρὸς μεσημβρίαν ἐρήμῳ καὶ τῇ πρὸς αὐτὴν ἐρυθρᾷ θαλάσσῃ, πλωτῇ οὔσῃ τοῖς τε ἀπ' Αἰγύπτου περῶσι καὶ τοῖς ἀπὸ τῆς Ἰνδικῆς. ἐγκάθηται δὲ αὐτόθι τάγμα Ῥωμαίων τὸ δέκατον. καλεῖται δὲ 8 νῦν Ἀϊλά. ἦν δὲ καὶ Αἰλαμιτῶν τὸ παλαιὸν ἔθνος. ταύτης ἦν βασιλεὺς Χοδολλαγόμωρ. κεῖται δὲ καὶ ἄλλη ἐν Βασιλείαις Αἰλὰμ τῶν ἀλλοφύλων. Ἀδαμά̣ Gen 14, 2 μία τῆς Πενταπόλεως Σοδόμων, ἅμα ταῖς λοιπαῖς ἀφανισθεῖσα. Ἀσασὰν Θαμάρ Gen 14, 7̣. ἔνθα κατῴκουν οἱ Ἀμορραῖοι, οὓς κατέκοψεν Χοδολλαγόμωρ. παράκειται τῇ ἐρήμῳ Κάδης. λέγεται δέ τις Θαμαρὰ κώμη διεστῶσα Μάψις ἡμέρας ὁδόν, ἀπιόντων ἀπὸ Χεβρὼν εἰς Ἀϊλάμ, ἥτις νῦν φρούριόν ἐστι τῶν στρατιωτῶν. Ἀλουά̣ Gen 36, 40̣. χώρα ἡγεμόνων Ἐδὼμ ἐν τῇ νῦν Γεβαληνῇ, Πέτρᾳ τῇ πόλει παρακειμένη. Αἰνάν̣ Gen 38, 14̣, «ἥ ἐστιν ἐν παρόδῳ Θαμνά». ἔρημος νῦν τόπος ἐστὶν ἡ Ἀϊνάν, παρακείμενος τῇ Θαμνᾷ εἰς δεῦρο οἰκουμένῃ μεγίστῃ κώμῃ, κειμένῃ μεταξὺ Αἰλίας καὶ Διοσπόλεως. πηγὴ δὲ ἔστιν ἐν τῷ Αἰνὰν λεγομένῳ τόπῳ, παρ' ᾗ εἴδωλον ἦν παρὰ τῶν ἐγχωρίων τιμώμενον. Ἅλων Ἀτάδ̣ Gen 50, 10̣. «ὅ ἐστιν πέραν τοῦ Ἰορδάνου», ἔνθαἐκόψαντο τὸν Ἰακώβ. διέστηκεν ὁ τόπος Ἱεριχοῦς τρισὶ σημείοις, ὡς ἀπὸ δύο σημείων τοῦ Ἰορδάνου. καὶ νῦν καλεῖται Βηθαγλά, ὅπερ ἑρμηνεύεται τόπος κύκλου διὰ τὸ ἐκεῖ κοπτομένους τὸν Ἰακὼβ κυκλοῦν. Ἐξόδου. Αἰλίμ̣ Ex 15, 27̣. ἔνθα «δώδεκα πηγαὶ ὑδάτων καὶ ο´ στελέχη φοινίκων». σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. 10 Αἰλούς̣ Num 33, 13̣. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Ἀριθμῶν καὶ Δευτερονομίου. Ἀσηρώθ̣ Num 11, 35̣. μέρος τῆς ἐρήμου, ἔνθα «Μαριὰμ καὶ Ἀαρὼν» κατελάλησαν Μωϋσέως. κατῴκουν δὲ «οἱ Εὐαῖοι» «ἐν Ἀσηρὼθ ἕως Γάζης». Ἀσεμωνά̣ Num 33, 29̣. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Ἀηθαρίμ̣ Num 21, 1̣. Ἀκ´ Συ´ ὁδὸς τῶν κατασκόπων, ἔνθα «ὁ Χαναναῖος ὁ καθήμενος εἰς τὸν νότον» ἐπελθὼν τῷ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ πολεμεῖται. Αἰὴ̣ Num 21, 11̣ ἡ καὶ Ἀχελγαί. Σ´ ἐν τοῖς βουνοῖς. αὕτη λέγεται εἶναι «κατὰ πρόσωπον Μωάβ», τῆς Ἀρεοπόλεως, «κατὰ ἀνατολάς». Ἀρνών̣ Num 21, 13̣. «τὸ ἐξέχον ἀπὸ τῶν ὁρίων τῶν Ἀμορραίων». κεῖται δὲ μεταξὺ «Μωὰβ καὶ τοῦ Ἀμορραίου». καὶ ἔστιν «ὅριον Μωάβ», ἥτις ἐστὶν Ἀρεόπολις τῆς Ἀραβίας. δείκνυται δὲ εἰς ἔτι νῦν τόπος φαραγγώδης σφόδρα χαλεπὸς ὁ Ἀρνωνᾶς ὀνομαζόμενος, παρατείνων ἐπὶ τὰ βόρεια τῆς Ἀρεοπόλεως, ἐν ᾧ καὶ φρούρια πανταχόθεν φυλάττει στρατιωτικὰ διὰ τὸ φοβερὸν τοῦ τόπου. τὸ παλαιὸν δὲ ἦν Σηὼν τοῦ τῶν Ἀμορραίων βασιλέως ἀφελομένου αὐτὴν τοὺς Μωαβίτας. ἐντεῦθεν γέγονε τῆς τῶν υἱῶν Ἰσραὴλ κατασχέσεως τὰ ἐπέκεινα τοῦ Ἰορδάνου ὅρια, παρατείνοντα ἀπὸ Ἀρνὼν ἕως ὄρους Ἀερμὼν καὶ Λιβάνου. Ἄρ̣ Num 21, 15̣. τόπος τοῦ Ἀρνωνᾶ, παρὰ δὲ τοῖς Ο´ Ἢρ ὀνομάζεται. Ἀησιμών̣ Num 21, 20̣. τόπος τῆς ἐρήμου. Ἀβελσαττείν̣ Num 33, 49̣. τόπος τῆς ἐρήμου «κατὰ δυσμὰς Μωάβ». 12 Ἀζώρ̣ Num 21, 24̣. «ὅριον υἱῶν Ἀμμᾶν» τῆς καὶ Φιλαδελφίας, διορίζον αὐτήν τε καὶ τὴν τῶν Ἀμορραίων χώραν. καὶ ἔστιν ἀπὸ ὀκτὼ σημείων Φιλαδελφίας ἐν δυσμαῖς Ἀζὴρ κώμη, ἣ καὶ εἰς ἔτι νῦν διαμένει. Ἀροήρ̣ Deut 3, 12; 4, 48̣, «ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάρρου Ἀρνών». πόλις Μωάβ, ἣν εἶχόν ποτε «οἱ Ὀμμείν», ἔθνος ἀρχαῖον, ὃ ἀνεῖλον οἱ υἱοὶ Λὼτ οἱ ἀπὸ Μωάβ. καὶ δείκνυται εἰς δεῦρο ἐπ' ὀφρύος τοῦ ὄρους κειμένη, ὅ τε χειμάρρους ὁ διὰ τῆς φάραγγος ἐπὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νεκρὰν θάλασσαν ἐκπίπτων. γέγονεν δὲ ἡ Ἀροὴρ κλήρου φυλῆς Γάδ, καὶ λέγεται εἶναι «κατὰ πρόσωπον Ῥαββά». Ἀσταρώθ Deut 1, 4. πόλις ἀρχαία τοῦ Ὤγ, ἐν ᾗ κατῴκουν οἱ γίγαντες, ἣ γέγονε φυλῆς Μανασσῆ. παράκειται δὲ ἐν τῇ Βαταναίᾳ Ἀδραᾷ πόλει τῆς Ἀραβίας ὡς ἀπὸ σημείων ἕξ. ἡ δὲ Ἀδραὰ τῆς Βόστρης διέστηκε σημείοις κε´. κεῖται δὲ καὶ ἀνωτέρω Ἀσταρὼθ Καρναείν. Ἀγροῦ σκοπιά Num 23, 14. ὄρος Μωάβ, ἐν ᾧ ἤγαγεν Βαλὰκ τὸν Βαλαὰμ «ἐπὶ κορυφὴν τοῦ λελαξευμένου», ὑπερκείμενον τῆς νεκρᾶς θαλάσσης. ὃ καὶ εἰς ἔτι δείκνυται οὐ μακρὰν τοῦ Ἀρνῶνος διεστός. Ἀραβὼθ Μωάβ Num 26, 3, ἔνθα δεύτερον ἠριθμήθη ὁ λαός. Ἀ´ πρὸς ὁμαλὰ Μωάβ, Σ´ ἐπὶ τὴν πεδιάδα τῆς Μωάβ, «ἥ ἐστιν ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ». καὶ ἔστι τόπος εἰς δεῦρο δεικνύμενος παρὰ τῷ ὄρει Φογώρ, ὃ παράκειται ἀνιόντων ἀπὸ Λιβιάδος ἐπὶ Ἐσβοῦν τῆς Ἀραβίας ἀντικρὺ Ἱεριχώ. Ἀραβά Deut 1, 1?. Ἀκ´ ἐν ὁμαλῇ, Συ´ ἐν τῇ πεδιάδι, Θεοδ´ ἐν δυσμαῖς, Συ´ πάλιν ἐν τῇ ἀοικήτῳ. Ἀσταρώθ Num 32, 34. πόλις τὸ παλαιὸν τοῦ Ἀμορραίου ἐν τῇ Περαίᾳ, ἣ γέγονεν κλήρου φυλῆς Γάδ. ἐκαλεῖτο δὲ Ἀσταρὼθ υἱὸς Σαλμὼ ἢ Σαλομῶνος, ὡς ἐν Παραλειπομέναις. Ἀσταρὼθ Σωφάρ Num 32, 35. πόλις καὶ αὐτὴ φυλῆς Γάδ. 14 Ἀράδ Num 33, 40; 34, 4. πόλις Ἀμορραίων παρακειμένη τῇ ἐρήμῳ τῇ καλουμένῃ Κάδης. καὶ ἔστιν εἰς ἔτι νῦν κώμη ἀπὸ τετάρτου σημείου Μαλααθῶν, τῆς δὲ Χεβρὼν ἀπὸ κ´. φυλῆς Ἰούδα. Ἀσεμωνά Num 34, 4. πόλις ἐν τῇ ἐρήμῳ ἀπὸ νότου τῆς Ἰουδαίας, διορίζουσα Αἴγυπτον καὶ τὴν εἰς θάλασσαν διέξοδον. φυλῆς Ἰούδα. κεῖται καὶ ἀνωτέρω σταθμός. Ἀκραββείν Num 34, 4. ὅριον τῆς Ἰουδαίας ἀνατολικόν, φυλῆς Ἰούδα. καὶ κώμη δέ ἐστιν μεγίστη διεστῶσα Νέας πόλεως σημείοις θ´ ἐν ἀνατολαῖς κατιόντων ἐπὶ τὸν Ἰορδάνην ὡς ἐπὶ Ἱεριχὼ διὰ τῆς καλουμένης Ἀκραβαττίνης. λέγεται δὲ καὶ ὅριον τῶν Ἀμορραίων Ἀκραβείμ, ἀφ' ἧς οὐκ ἐξῆρε τοὺς ἀλλοφύλους ἡ φυλὴ Νεφθαλείμ, ὡς ἐν Κριταῖς. Ἀσαδαδδά Num 34, 8. ὅριον τῆς Ἰουδαίας βόρειον. Ἀράδ Num 34, 4. ὅριον καὶ αὐτὸ τῆς Ἰουδαίας. ἀπέχει δὲ Χεβρῶνος σημείοις κ´ πρὸς νότον. κεῖται ἀνωτέρω. Ἀσαρηνάν Num 34, 9. ὅριον τῆς Ἰουδαίας βόρειον. Ἀσερνά Num. 34, 10. ὅριον καὶ αὐτὸ τῆς Ἰουδαίας. Ἀρβηλά Num 34, 11. ὅριον ἀνατολικὸν τῆς Ἰουδαίας. ἔστι δὲ κώμη τις Ἀρβηλὰ πέραν τοῦ Ἰορδάνου ἐν ὁρίοις Πέλλης πόλεως Παλαιστίνης. καὶ ἄλλη δὲ Ἀρβηλὰ κεῖται ἐν τῷ μεγάλῳ πεδίῳ, τῆς Λεγεῶνος διεστῶσα σημείοις θ´. Αὐλών Deut 1, 1. πεδιὰς μεγάλη ἐπιμήκης ὁ Αὐλὼν εἰς ἔτι καὶ νῦν καλεῖται. αὕτη δὲ περιέχεται ὄρεσιν ἑκατέρωθεν, παρατείνουσιν ἔκ τε τοῦ Λιβάνου καὶ ἔτι ἄνωθεν ἐπὶ τὴν ἔρημον Φαράν. 16 εἰσὶν δὲ ἐπὶ τοῦ Αὐλῶνος πόλεις ἐπίσημοι Τιβεριὰς καὶ ἡ πρὸς αὐτῇ λίμνη, Σκυθόπολις, Ἱεριχὼ καὶ ἡ νεκρὰ θάλασσα αἵ τε περὶ αὐτὰς χῶραι, ὧν μέσος ὁ Ἰορδάνης φέρεται, ἐξιὼν μὲν ἀπὸ τῶν κατὰ Πανεάδα πηγῶν, εἰς δὲ τὴν νεκρὰν θάλασσαν ἀφανιζόμενος. Ἀμαληκῖτις (?). χώρα ἐν τῇ ἐρήμῳ τῇ πρὸς μεσημβρίαν τῆς Ἰουδαίας, ὑπερκειμένη τῆς νῦν καλουμένης Πέτρας πόλεως, ἀπιόντων εἰς Ἀϊλά. ἐπισημαίνεται δὲ καὶ ἡ γραφὴ λέγουσα «Ἀμαλὴκ δὲ κατοικεῖ ἐν τῇ γῇ πρὸς νότον». ἐκ γειτόνων δὲ αὐτῶν ἄλλος Χαναναῖος ὑπῆρχεν, ὁ καὶ πολεμήσας τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. ὃ καὶ αὐτὸ μαρτυρεῖ ἡ γραφὴ λέγουσα «ὁ δὲ Ἀμαλὴκ καὶ οἱ Χαναναῖοι κατοικοῦσιν ἐν τῇ κοιλάδι». Ἀραβά Deut 1, 7 Ἀ´ ὁμαλή, Σ´ πεδιάς. κεῖται καὶ ἀνωτέρω. ἔστι δὲ καὶ κώμη καλουμένη Ἀραβὰ ἐν ὁρίοις Διοκαισαρείας, καὶ ἀπὸ τριῶν σημείων Σκυθοπόλεως ἄλλη πρὸς δυσμάς. Ἀμμᾶν Deut 2, 19. ἡ νῦν Φιλαδελφία, πόλις ἐπίσημος τῆς Ἀραβίας. «κατῴκουν» δὲ αὐτὴν «πρότερον οἱ Ῥαφαείν», ἔθνος ἀρχαῖον, ὅπερ ἀνεῖλον οἱ υἱοὶ Λὼτ οἱ ἀπὸ Ἀμμᾶν. Ἀργόβ Deut 3, 4. χώρα «βασιλείας Ὢγ» ὑπὲρ τὸν Ἰορδάνην, ἣν ἔλαβον οἱ ἀπὸ φυλῆς Μανασσῆ. κεῖται δὲ εἰς ἔτι νῦν κώμη πέριξ Γέρασαν πόλιν τῆς Ἀραβίας ὡς ἀπὸ σημείων ιε´ πρὸς δυσμάς, καλεῖται δὲ νῦν Ἐργά. ἑρμηνεύει δὲ αὐτὴν ὁ Σύμμαχος περίμετρον. Ἀσηδώθ Deut 3, 17. πόλις τῶν Ἀμορραίων, ἣ γέγονε φυλῆς Ῥουβίν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λέγεται δὲ Ἀσηδὼθ Φασγώ, ὅ ἐστι λαξευτή. Ἀβαρείμ Deut 32, 49. ὅρος ἐν ᾧ Μωϋσῆς τελευτᾷ. λέγεται δὲ εἶναι «ὄρος Ναβαῦ ὅ ἐστιν ἐν γῇ Μωὰβ ἀντικρὺ Ἱεριχὼ» ὑπὲρ τὸν Ἰορδάνην «ἐπὶ κορυφὴν Φασγώ», καὶ δείκνυται ἀνιόντων ἀπὸ Λιβιάδος 18 ἐπὶ Ἐσβοῦν τῷ αὐτῷ ὀνόματι καλούμενον πλησίον τοῦ Φογὼρ ὄρους οὕτως καὶ εἰς δεῦρο χρηματίζοντος, ἔνθεν καὶ ἡ χώρα εἰς ἔτι νῦν ὀνομάζεται Φασγώ. Αὐὼθ Ἰαείρ Deut 3, 14, ἐπαύλεις Ἰαείρ. αὕτη ἐστὶν ἡ Βασάν. εἰσὶ δὲ κῶμαι Ἰαεὶρ ἐν τῷ ὄρει Γαλαάδ, ἃς ἔλαβε τὸ ἥμισυ φυλῆς Μανασσῆ· καί εἰσιν ἐν τῇ καλουμένῃ Γωνίᾳ τῆς Βαταναίας. Ἀπὸ τοῦ Ἰησοῦ τοῦ Ναυῆ. Ἀντιλίβανος Jos 1, 4. τὰ ὑπὲρ τὸν Λίβανον πρὸς ἀνατολὰς πρὸς τὴν Δαμασκηνῶν χώραν. φυλῆς Μανασσῆ. Ἄζηκα Jos 10, 10. πόλις τῶν Χαναναίων, μέχρις ἧς κατεδίωξεν Ἰησοῦς τοὺς ε´ βασιλεῖς, ἥτις γέγονε φυλῆς Ἰούδα. καλεῖται δὲ καὶ νῦν Ἄζηκα κώμη ἀναμέσον Ἐλευθεροπόλεως καὶ Αἰλίας. Αἰλώμ Jos 10, 12. φάραγξ, καθ' ἣν ἔστη «ἡ σελήνη» εὐξαμένου Ἰησοῦ ἐγγὺς κώμης ἔτι νῦν Αἰλὼν καλουμένης, ἐξ ἀνατολῶν Βαιθήλ, σημείοις τρισὶ διεστῶσα. παράκεινται δὲ αὐτῇ Γαβαὰ καὶ Ῥαμαὰ πόλεις Σαούλ. Ἀχώρ Jos 7, 24, 26. κοιλὰς Ἀχὼρ καλουμένη, ἔνθα ἐλιθοβόλησαν τὸν Ἀχώρ, κλέψαντα τὸ ἀνάθεμα. παρ' ὃ καὶ Ἀχὼρ ὠνομάσθη. κεῖται δὲ ἐν βορείοις Ἱεριχώ, καὶ οὕτω εἰς ἔτι νῦν καλεῖται πρὸς τῶν ἐπιχωρίων. Ἀσηδώθ Jos 10, 40. ἄλλη αὕτη πόλις, ἣν ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. 20 Ἀσώρ Jos 11, 1. πόλις βασιλείας Ἰαβείν, ἣν μόνην ἐνέπρησεν Ἰησοῦς, ὅτι αὕτη ἦν μόνη «ἄρχουσα πασῶν τῶν βασιλειῶν» τῶν ἀλλοφύλων. ἔστι δὲ καὶ εἰς ἔτι νῦν κώμη λεγομένη Ἀσὼρ ἐν ὁρίοις Ἀσκαλῶνος τοῖς εἰς ἀνατολάς, ἣ γέγονε φυλῆς Ἰούδα. καὶ οἶδεν ἡ γραφὴ Ἀσὼρ τὴν καινήν. Ἀερμών Jos 11, 3. 17. χώρα τῶν Εὐαίων, ἣν κατέσχεν Ἰησοῦς. Ἀλὰκ ὄρους Jos 11, 17. Ἀκύλας μερίζοντος τοῦ ὄρους, Σ´ λείου ὄρους. ὄρος ἐπὶ Πανεάδα. Ἀερμών Jos 11, 17. ὄρος τῶν Ἀμορραίων, ὃ καλοῦσι Φοίνικες Σανιώρ, ὁ δὲ Ἀμορραῖος ἐκάλει «αὐτὸ Σανίρ». φασὶν δὲ εἰς ἔτι νῦν Ἀερμὼν ὄρος ὀνομάζεσθαι καὶ ὡς ἱερὸν τιμᾶσθαι ὑπὸ τῶν ἐθνῶν, καταντικρὺ Πανεάδος καὶ τοῦ Λιβάνου. ἦν δὲ τὰ ὑπὲρ τὸν Ἰορδάνην καὶ πρὸς ἀνατολὰς ὅρια τῆς κατασχέσεως τῶν υἱῶν Ἰσραὴλ μέχρις «ὄρους Ἀερμὼν» «ἀπὸ φάραγγος τοῦ Ἀρνωνᾶ». Ἀνώβ Jos 11, 21. πόλις, ἣν ἐπολιόρκησεν Ἰησοῦς, καὶ ἔστι νῦν κώμη περὶ Διόσπολιν ἀπὸ σημείων τεσσάρων πρὸς ἀνατολάς, ἣ καλεῖται Βετοαννάβα. Ἀσδὼδ Jos 11, 22 ἡ καὶ Ἄζωτος. ἐν ᾗ κατελείφθησαν οἱ Ἐνακείμ, ἣ νῦν ἐστι πολίχνη ἐπίσημος τῆς Παλαιστίνης. ἦν δὲ κλήρου φυλῆς Ἰούδα. Ἄδερ Jos 12, 14. πόλις, ἣν ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. 22 Ἀφέκ Jos 12, 18. πόλις, ἣν καὶ αὐτὴν ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. Ἀκσάφ Jos 12, 20. καὶ ταύτης τὸν βασιλέα ἐπολέμησεν Ἰησοῦς. λέγεται δέ τις κώμη Χσαλοὺς ἐν τῇ πεδιάδι παρὰ τὸ ὄρος Θαβώρ, ἀπέχουσα Διοκαισαρείας σημείοις η´. Ἀκκαρών Jos 13, 3. φυλῆς Δάν, «ἐξ εὐωνύμων τῶν Χαναναίων», πόλις μία τῶν ε´ σατραπειῶν τῶν ἀλλοφύλων, ἣ καὶ ἀφωρίσθη μὲν τῇ φυλῇ Ἰούδα, οὐ μὴν ἐκράτησεν αὐτῆς, ὅτι μὴ ἀνεῖλεν τοὺς ἐν αὐτῇ ἀλλοφύλους. ἣ καὶ ἔστι νῦν κώμη μεγίστη Ἰουδαίων Ἀκκαρὼν καλουμένη ἀναμέσον Ἀζώτου καὶ Ἰαμνίας ἐν τοῖς ἀνατολικοῖς. Ἄζωτος Jos 13, 3 ἡ καὶ Ἀσδώδ. πόλις εἰς ἔτι νῦν διαμένουσα τῆς Παλαιστίνης, ἥτις ἦν τὸ παλαιὸν μία τῶν ε´ σατραπειῶν τῶν ἀλλοφύλων. ἣ καὶ ἀφωρίσθη τῷ Ἰούδα, οὐ μὴν ἐκράτησεν αὐτῆς, ὅτι μὴ ἀνεῖλε τοὺς ἐν αὐτῇ ἀλλοφύλους. Ἀσκαλών Jos 13, 3. ἐπισημοτάτη πόλις τῆς Παλαιστίνης. καὶ αὐτὴ τὸ παλαιὸν ἦν τῶν ε´ σατραπειῶν καὶ ἀφωρίσθη μὲν τῷ Ἰούδα, οὐ μὴν ἐκράτησεν αὐτῆς, ὅτι μὴ ἀνεῖλε τοὺς ἐν αὐτῇ ἀλλοφύλους. Ἀφεκά Jos 13, 4. ὅριον «τῶν Ἀμορραίων» ὑπὲρ τὸν Ἰορδάνην, ὃ γέγονε φυλῆς Ῥουβίν· καὶ νῦν ἐστι κώμη Ἀφεκὰ λεγομένη μεγάλη περὶ τὴν Ἵππον πόλιν τῆς Παλαιστίνης. Ἀλγάδ Jos 13, 5. «ὑπὸ τὸ ὄρος τὸ Ἀερμών». Αἰμάθ Jos 13, 5. τῆς κοιλάδος πόλις, ἣ γέγονε φυλῆς Ῥουβίν. λέγεται δὲ καὶ νῦν Ἀμμαθοῦς κώμη ἐν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Περαίᾳ τῇ κατωτέρᾳ, Πέλλων διεστῶσα σημείοις κα´ εἰς νότον. καὶ ἄλλη δὲ κώμη πλησίον Γαδάρων ἐστὶν Ἐμμαθᾶ, ἔνθα τὰ τῶν θερμῶν ὑδάτων θερμὰ λουτρά. καὶ ἐν Βασιλείαις εἴρηται· «ἀπὸ εἰσόδου Αἰμὰθ ἕως τῆς θαλάσσης Ἀραβά», ἥ ἐστιν ἡ νεκρά. 24 Ἀμμών Jos 13, 10. 25. ὑπὲρ τὸν Ἰορδάνην, πόλις φυλῆς Γάδ. αὕτη ἐστὶν Ἀμμᾶν ἡ καὶ Φιλαδελφία, πόλις ἐπίσημος τῆς Ἀραβίας. Ἀδδαρά Jos 15, 3. φυλῆς Ἰούδα πρὸς τῇ ἐρήμῳ. ἔστι δὲ καὶ ἄλλη κώμη ὁρίου Διοσπόλεως περὶ τὴν Θαμνιτικὴν οὕτω καλουμένην χώραν ἀπὸ Θαμνὰ κώμης. Ἀκαρκά Jos 15, 3. Σ´ τὸ ἔδαφος. κώμη ἐστὶν πρὸς τῇ ἐρήμῳ κειμένη. φυλῆς Ἰούδα. Ἀχώρ Jos 15, 7. φυλῆς Ἰούδα. κεῖται καὶ ἀνωτέρω. Ἀδομμίμ Jos 15, 7. φυλῆς Ἰούδα. κώμη νῦν ἔρημος, ἧς ὁ τόπος καλεῖται Μαληδομνεῖ, κατιόντων ἀπὸ Αἰλίας εἰς Ἱεριχώ, ἔνθα ἐστὶ φρούριον. Ἀμάμ Jos 15, 26. φυλῆς Ἰούδα. Ἀσέρ Jos 15, 27. φυλῆς Ἰούδα. καλεῖται δὲ καὶ νῦν Ἀσὲρ κώμη μεγίστη ἀπιόντων ἀπὸ Ἀζώτου εἰς Ἀσκαλῶνα. Ἀσαρσουάλ Jos 15, 28. φυλῆς Ἰούδα. Ἀΐν Jos 15, 32. φυλῆς Ἰούδα, ἱερεῦσιν ἀφωρισμένη. ἔστι δὲ κώμη νῦν Βηθανὶν λεγομένη ἀπὸ β´ σημείων τῆς τερεβίνθου, Χεβρὼν δὲ ἀπὸ τεσσάρων. Ἀσθαώλ Jos 15, 33. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν κώμη Ἀσθὼ καλουμένη μεταξὺ Ἀζώτου καὶ Ἀσκαλῶνος. Ἀσνά Jos 15, 33. φυλῆς Ἰούδα. Ἀδολάμ Jos 15, 35. φυλῆς Ἰούδα. κώμη νῦν ἐστι μεγίστη πρὸς ἀνατολὰς Ἐλευθεροπόλεως ὡς ἀπὸ σημείων δέκα. Ἀδιαθαΐν Jos 15, 36. φυλῆς Ἰούδα. λέγεται δέ τις κώμη Ἀδία περὶ τὴν Γάζαν, καὶ ἄλλη Ἀδιθὰ περὶ Διόσπολιν ἐν ἀνατολαῖς. 26 Ἀδασά Jos 15, 37. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν κώμη ἐγγὺς Γουφνῶν. Ἄθερ Jos 15, 42. φυλῆς Ἰούδα. Ἀσάν Jos 15, 42. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν κώμη Βηθασὰν καλουμένη ἐν ὁρίοις Αἰλίας πρὸς δυσμαῖς ἀπὸ σημείων ι´. Ἀσεννά Jos 15, 43. φυλῆς Ἰούδα. Ἀχζείβ Jos 15, 44. φυλῆς Ἰούδα. Ἀνάβ Jos 15, 50. φυλῆς Ἰούδα. κώμη εἰς ἔτι νῦν ἐν ὁρίοις Ἐλευθεροπόλεως. ἀλλὰ καὶ Ἀναία ἐστὶ κώμη Ἰουδαίων μεγίστη καλουμένη ἐν τῷ Δαρωμᾷ πρὸς νότον Χεβρὼν ἀπὸ σημείων θ´. Ἀσθεμώ Jos 15, 50. φυλῆς Ἰούδα. κώμη ἐστὶ καὶ αὐτὴ ἐν τῷ Δαρωμᾷ ἐν βορείοις Ἀνεῶν. Ἀνείμ Jos 15, 50. φυλῆς Ἰούδα. ἄλλη Ἀναιὰ πλησίον τῆς προτέρας, ἣ νῦν ὅλη Χριστιανῶν τυγχάνει, οὖσα ἀνατολικὴ τῆς προτέρας. Ἀφακά Jos 15, 53. φυλῆς Ἰούδα. Ἀματά Jos 15, 54. φυλῆς Ἰούδα. Ἀρεββά Jos 15, 60. φυλῆς Ἰούδα. Ἀρχιαταρώθ Jos 16, 2. πόλις φυλῆς Ἰωσήφ. Ἀταρώθ Jos 16, 5. φυλῆς Ἐφραΐμ. καὶ νῦν ἐστι κώμη Ἀταροὺθ ἐν βορείοις Σεβαστῆς ὡς ἀπὸ δ´ μιλίων. Ἀδάρ Jos 16, 5. πόλις φυλῆς Ἐφραΐμ. Ἀσήρ Jos 17, 10. πόλις φυλῆς Μανασσῆ. καὶ νῦν ἐστιν οὕτω καλουμένη κώμη κατιόντων ἀπὸ Νέας πόλεως ἐπὶ Σκυθόπολιν ἐν πεντεκαιδεκάτῳ σημείῳ πρὸς αὐτῇ τῇ λεωφόρῳ. Ἀταρώθ Jos 18, 13. πόλις κλήρου Βενιαμίν. δύο εἰς ἔτι νῦν Ἀταρὼθ περὶ τὴν Αἰλίαν. Ἀναθώθ Jos 21, 18. πόλις κλήρου Βενιαμίν, ἱερεῦσιν ἀφωρισμένη περὶ τὴν Αἰλίαν ὡς ἀπὸ σημείων τριῶν. ἐντεῦθεν Ἱερεμίας ὁ προφήτης. Ἀδάρ Jos 18, 13. πόλις κλήρου Βενιαμίν. 28 Αἰλμών Jos 21, 18. πόλις κλήρου Βενιαμίν, ἱερεῦσιν ἀφωρισμένη. Ἀμεκκασίς Jos 18, 21. πόλις κλήρου Βενιαμίν. Αὐείμ Jos 18, 23. κλήρου Βενιαμίν. Ἀφρά Jos 18, 23. κλήρου Βενιαμίν. καὶ νῦν ἐστι κώμη Αἰφραίμ τῆς Βηθὴλ ἀπὸ σημείων ε´ πρὸς ἀνατολάς. Ἀμμωνεία Jos 18, 24. κλήρου Βενιαμίν. Ἀφνεί Jos 18, 24. κλήρου Βενιαμίν. Ἄλφ Jos 18, 28. κλήρου Βενιαμίν. Ἀρήμ Jos 18, 28. κλήρου Βενιαμίν. καὶ ἔστι νῦν κώμη περὶ Διόσπολιν Βηθαρὶφ καλουμένη. Ἀμσά Jos 18, 26. κλήρου Βενιαμίν. Ἀσάρ Jos 19, 3. πόλις κλήρου Συμεών. Ἀσάν Jos 19, 3. κλήρου Συμεών. Ἀμαρχαβώβ Jos 19, 5. κλήρου Συμεών. Ἀΐν Jos 19, 7. κλήρου Ἰούδα ἢ Συμεών, πόλις ἱερατική. Ἀσεννά Jos 19, 7. κλήρου Συμεών. Ἀμμαθάρ Jos 19, 13. κλήρου Ζαβουλών. Ἀνουά Jos 19, 13. κλήρου Ζαβουλών. καὶ ἄλλη δέ ἐστι κώμη Ἀνουὰ πορευομένων ἀπὸ Νέας πόλεως ἐπὶ τὴν Αἰλίαν σημείοις διεστῶσα ιε´. Ἀναθών Jos 19, 14. κλήρου Ζαβουλών. Ἀχεσελώθ Jos 19, 18. πόλις κλήρου Ἰσσάχαρ. λέγεταί τις κώμη Χσαλοὺς ἐν τῇ πεδιάδι παρὰ τὸ ὄρος Θαβώρ, ἀπέχουσα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Διοκαισαρείας σημείοις η´ πρὸς ἀνατολάς. Αἰφραίμ Jos 19, 19. πόλις κλήρου Ἰσσάχαρ. καὶ ἔστι κώμη Ἀφραία νῦν καλουμένη, ἀπέχουσα Λεγεῶνος ἐν βορείοις μιλίοις ´. Ἀνέρθ Jos 19, 19. κλήρου Ἰσσάχαρ. Αἵμς Jos 19, 20. κλήρου Ἰσσάχαρ. 30 Ἀχσάφ Jos 19, 25. κλήρου Ἀσήρ. Ἀλιμέλεχ Jos 19, 26. κλήρου Ἀσήρ. Ἀμόδ Jos 19, 26. κλήρου Ἀσήρ. Ἀβδών Jos 19, 28. κλήρου Ἀσήρ. Ἀνειήλ Jos 19, 27. κλήρου Ἀσήρ. ἔστιν κώμη Βαιτοαναία, Καισαρείας ἀπέχουσα σημείοις ιε´ ἐπὶ τὰ ἀνατολικά, ἐν ὄρει κειμένη, ἔνθα λουτρὰ λέγεται εἶναι ἰαματικά. Ἀχράν Jos 19, 28. πόλις Ἀσήρ. Ἀμμών Jos 19, 28. κλήρου Ἀσήρ. Ἀκχώ Jos 19, 30. ἡ νῦν Πτολεμαΐς. κλήρου Ἀσήρ, ἀφ' ἧς «οὐκ ἐξῆρεν» Ἀσὴρ τοὺς ἀλλοφύλους. Ἀχζείφ Jos 19, 29. κλήρου Ἀσήρ, ἀφ' ἧς οὐκ ἐξῆραν τοὺς ἀλλοφύλους. αὕτη ἐστὶν Ἔκδιππα ἀπὸ θ´ σημείων Πτολεμαΐδος ἀπιόντων ἐπὶ Τύρον. Ἀμμά Jos 19, 30. κλήρου Ἀσήρ. Ἀφέκ Jos 19, 30. κλήρου Ἀσήρ, ἀφ' ἧς οὐκ ἐξῆραν τοὺς ἀλλοφύλους. Ἀδεμμεί Jos 19, 33. κλήρου Νεφθαλείμ. Ἀσεδείμ Jos 19, 35. κλήρου Νεφθαλείμ. Ἀμάθ Jos 19, 35. κλήρου Νεφθαλείμ. Ἀδαμί Jos 19, 36. κλήρου Νεφθαλείμ. Ἀσώρ Jos 19, 36. κλήρου Νεφθαλείμ. καὶ ταύτην ἀνεῖλεν ὁ βασιλεὺς Ἀσσυρίων. Ἀζανώθ Jos 19, 34. ὅριον Νεφθαλείμ. κώμη ἐν ὁρίοις Διοκαισαρείας ἐν τῇ πεδιάδι. Αἰλών Jos 19, 43. πόλις κλήρου Δάν, Λευίταις ἀφωρισμένη κώμη δέ ἐστιν Ἀλοῦς περὶ Νικόπολιν. ἀντὶ δὲ τοῦ Αἰλὼν οἱ Ο´ «οὗ αἱ ἄρκοι» ἐκδεδώκασιν. 32 Ἀπὸ τῶν Κριτῶν. Ἀράδ Richt 1, 16. πόλις, ἔνθα κατῴκησαν «οἱ υἱοὶ Ἰοθώρ, τοῦ Ἰωβάβ, πενθεροῦ Μωϋσῆ» ἐν μέσῳ Ἰσραήλ. Ἀρέδ Richt 7, 1. πηγή, ἔνθα παρενέβαλε Γεδεών. Ἀρισώθ Richt 4, 2. πόλις Σισαρὰ ἄρχοντος Ἰάβις. ἡ δὲ Ἰάβις ἐπέκεινα τοῦ Ἰορδάνου νῦν ἐστι μεγίστη πόλις, Πέλλης πόλεως διεστῶσα σημείοις ´ ἀνιόντων ἐπὶ Γερασάν. Ἄρες Richt 8, 13. ἀνάβασις Ἄρες. Ἀ´ δρυμῶν, Σ´ ὀρέων. Ἀρουείρ Richt 11, 33. ἔνθα ἐπολέμησεν Ἰεφθαέ. καὶ ἔστι κώμη ἀπὸ σημείων ´ Αἰλίας ἐν τῷ ὄρει πρὸς βορρᾶν. Ἀριμά Richt 9, 41. ἔνθα ἐκάθισεν ὁ Ἀβιμέλεχ. Αἰαλίν Richt 12, 12. πόλις «ἐν γῇ Ζαβουλών», ὅθεν ἦν Αἰαλὼν ὁ κρίνας «τὸν Ἰσραήλ». Ἄβελ ἀμπελώνων Richt 11, 33. ἔνθα ἐπολέμησεν Ἰεφθαέ. γῆς υἱῶν Ἀμμών. καὶ ἔστιν εἰς ἔτι νῦν κώμη ἀμπελοφόρος Ἀβελὰ ἀπὸ ´ σημείων Φιλαδελφίας, καὶ ἄλλη πόλις ἐπίσημος, Ἀβελὰ οἰνοφόρος καλουμένη, διεστῶσα Γαδάρων σημείοις ιβ´ τοῖς πρὸς ἀνατολαῖς, καὶ τρίτη τις καὶ αὐτὴ Ἀβελὰ τῆς Φοινίκης μεταξὺ Δαμασκοῦ καὶ Πανεάδος. Βασιλειῶν. Ἀρμαθὲμ Σειφά I Sam 1, 1. πόλις Ἐλκανὰ καὶ Σαμουήλ. κεῖται δὲ αὕτη πλησίον Διοσπόλεως, ὅθεν ἦν Ἰωσήφ, ὁ ἐν Εὐαγγελίοις ἀπὸ Ἀριμαθίας. Ἀβενεζέρ I Sam 4, 1. λίθος βοηθοῦ. τόπος ὅθεν «τὴν κιβωτὸν» ἦραν «οἱ ἀλλόφυλοι», μεταξὺ Αἰλίας καὶ Ἀσκαλῶνος, πλησίον Βεθσαμὺς κώμης. 34 Ἀφεσδομείμ I Sam 17, 1. ἔνθα ἐπολέμει Σαούλ. Ἀ´ ἐν πέρατι Δομμείν. Ἀνέγβ I Sam 20, 41. Ἀ´ νότου, Σ´ μεσημβρίας. Ἀρίθ I Sam 22, 5. ἔνθα ἐκάθισε Δαυίδ. ἔστι κώμη Ἀράθ, Αἰλίας πρὸς δυσμαῖς. Ἀϊαλίμ I Sam 24, 3. Ἀκ´ τῶν ἐλαφίνων, Θ´ τῶν πετρῶν τῶν ἐλάφων. Ἀενδὼρ ἡ «ἐν Ἰεζραέλ» I Sam 29, 1. ἔνθα παρεμβάλλουσιν οἱ υἱοὶ Ἰσραὴλ εἰς πόλεμον. ἔστι νῦν μεγίστη κώμη Ἀενδὼρ πλησίον τοῦ ὄρους Θαβὼρ ἐπὶ νότου ὡς ἀπὸ σημείων δ´. Ἄφεκ I Sam 29, 1. πλησίον Ἀενδὼρ τῆς Ἰεζραέλ, ἔνθα ὁ πόλεμος συνέστη τῷ Σαούλ. Ἀρμά I Sam 30, 26. 30. ἔνθα ἀπέστειλε Δαυὶδ «τῶν σκύλων». Ἀθάχ I Sam 30, 26. 30. ἔνθα ἀπέστειλε Δαυὶδ «τῶν σκύλων». Ἀμμά II Sam 2, 24. «ὁδὸς ἔρημος Γαβαών». Ἀεθθὰν Ἀδασαί II Sam 24, 6. Σ´ τὴν κατωτέραν ὁδόν. Ἀλὼν Ὀρνᾶ II Sam 24, 16. αὕτη ἐστὶν Ἱερουσαλήμ. Ἀσσούρ I Kön 9, 15. ἐν τῇ Ἰουδαίᾳ πόλις, ἣν ᾠκοδόμησε Σολομών. Ἀβελμαελαί I Kön 4, 12. πόλις ἑνὸς τῶν ἀρχόντων Σολομών, ὅθεν Ἐλισσαῖος. κώμη νῦν ἐστιν ἐν τῷ Αὐλῶνι, Σκυθοπόλεως διεστῶσα σημείοις ι´, ἣ νῦν καλεῖται Βηθμαελά. ἔστι δὲ καὶ Ἀβελμεὰ κατιόντων ἀπὸ Νέας πόλεως εἰς Σκυθόπολιν. Αὐωθιαείρ I Kön 4, 13. πόλις ἑνὸς ἄρχοντος Σολομών. Ἀϊλάθ I Kön 9, 26. «ἐπὶ τοῦ χείλους τῆς ἐσχάτης θαλάσσης ἐν γῇ Ἐδώμ». κεῖται καὶ ἀνωτέρω Ἀϊλάς. Ἀϊλώθ II Kön 14, 22. ταύτην ᾠκοδόμησεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἀζαρίας. Ἀϊνδά̣ I Kön 15, 20̣. ταύτην ἐπάταξεν Ἀσά. 36 Ἀσιὼν βαβαὶ̣ I Kön 22, 49̣ ἡ καὶ Ἀσιὼν γαβέρ. ἔνθα «συνετρίβησαν αἱ νῆες» Ἰωσαφάτ. αὕτη λέγεται εἶναι Αἰσία ἡ παρὰ τὴν Ἀϊλὰ πλησίον τῆς ἐρυθρᾶς θαλάσσης. Ἀλαέ, Ἀβώρ, Γωζάν̣ II Kön 17, 6̣. ἐν χώρᾳ Μήδων ποταμοί, ὧν ἐν τοῖς ὄρεσιν ἀπῳκίσθη ὁ Ἰσραήλ. Ἀβενά̣ II Kön 5, 12̣. ποταμὸς Δαμασκοῦ. Ἀοφσὶθ̣ II Kön 15, 5̣ ἢ Ἀφουσώθ. Ἀ΄ τῆς ἐλευθερίας. Αἰάν̣ II Kön 15, 29̣. ταύτην εἷλεν ὁ «βασιλεὺς Ἀσσυρίων». Αἶα̣ II Kön 17, 24̣. χώρα Ἀσσυρίων. Αἰμάθ̣ II Kön 17, 24̣. χώρα Ἀσσυρίων. Ἀσιμάθ̣ II Kön 17, 30̣. ταύτην ἔκτισαν οἱ ἀπὸ Αἰμὰθ ἐν τῇ Ἰουδαίᾳ. Ἀρκέμ̣ II Kön 17, 30̣. κατὰ Ἰώσιππον αὕτη ἐστὶν Πέτρα πόλις ἐπίσημος τῆς Παλαιστίνης. Ἀδραμελέχ ̣II Kön 17, 31̣. εἴδωλον Ἀσσυρίων, καὶ Ἀνημελὲχ ὁμοίως, οἳ καὶ ἦσαν τῶν Σαμαρειτῶν θεοί. Ἀρωνιείμ̣ Jes 15, 5̣. ὁδός. Ἡσαΐας. Ἀ΄ Ὀρωναΐμ, Σ΄ Ἀραννείμἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Ἀγαλλείμ̣ Jes 15, 8̣. Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». καὶ νῦν ἐστὶν Αἰγαλλεὶμ κώμη πρὸς νότον Ἀρεοπόλεως διεστῶσα σημείοις η΄. Αἰλείμ̣ Jes 15, 8̣. φρέαρ Δειμμών. Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Ἀρινὰ̣ Jes 15, 9̣ ἡ καὶ Ἀριήλ. Ἀ΄ Σ΄ λέοντα θεοῦ. ταύτην εἶναί φασι τὴν Ἀρεόπολιν, ἐπειδὴ καλοῦσιν εἰς ἔτι καὶ νῦν Ἀριὴλ τὸ εἴδωλον αὐτῶν οἱ τὴν Ἀρεόπολιν οἰκοῦντες ἀπὸ τοῦ σέβειν τὸν Ἄρεα, ἐξ οὗ καὶ τὴν πόλιν ὠνόμασαν. 38 Ἀδαμά̣ Jes 15, 9̣. Ἀ΄ Σ΄ χθονός, Θ΄ τῆς γῆς. Ἀγρὸς τοῦ γναφέως ̣Jes 7, 3̣. παρὰ Ἡσαΐᾳ. καὶ δείκνυται ἔτι νῦν ὁ τόπος ἐν προαστείοις Ἱερουσαλήμ. Ἀσεδέκ̣ Jes 19, 18̣. * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * Ἀρφάδ̣ Jes 36, 19; 37, 13̣. πόλις Δαμασκοῦ, ἣν ἐπολέμησεν βασιλεὺς Ἀσσυρίων. ἐν Ἡσαΐᾳ καὶ Ἱερεμίᾳ καὶ ταῖς Βασιλείαις. Ἀναεουγαυά̣ Jes 37, 13̣. ἐν Ἡσαΐᾳ. Ἀ΄ Ἀνὲ καὶ Γαυᾶ, Σ΄ ἀνεστάτωσεν καὶ ἐταπείνωσεν. καὶ ἐν Βασιλείαις. Ἀρμενία̣ Jes 37, 38̣. Ἡσαΐας. Ἀραράτ. Σαρασά. Ἀσέλ̣ Zach 14, 5̣. ταύτης Ζαχαρίας μέμνηται. Ἀναμεήλ̣ Zach 14, 10̣. πύργος Ἱερουσαλήμ. ἐν Ζαχαρίᾳ. Ἀσαδημώθ̣ Jer 31, 40̣. ἐν Ἱερεμίᾳ. τὸ Ἑβραϊκὸν τῶν Σαδημώθ, Ἀ΄ τὰ προάστεια. Ἀενιώθ̣ Jer 37, 16̣. ἐν Ἱερεμίᾳ. Ἀ΄ τὰ ἐργαστήρια. Ἀλώθ̣ Jer 48, 5̣. ἐν Ἱερεμίᾳ. τὸ Ἑβραϊκὸν Λουίθ. Αἰθάμ̣ Jer 49, 19̣. ἐν Ἱερεμίᾳ. Ἀ΄ στερεάν, Σ΄ ἀρχαίαν. Ἀπὸ τῶν Εὐαγγελίων. Ἀκελδαμά̣ Matth 27, 8̣. «χωρίον αἵματος». ἐν Εὐαγγελίοις. ὃ καὶ δείκνυται εἰς ἔτι νῦν ἐν τῇ Αἰλίᾳ ἐν βορείοις τοῦ Σιὼν ὄρους. 40 Αἰνὼν̣ Joh 3, 23̣. «ἐγγὺς τοῦ Σαλείμ», ἔνθα ἐβάπτιζεν Ἰωάννης, ὡς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ. καὶ δείκνυται εἰς ἔτι νῦν ὁ τόπος ἀπὸ η΄ σημείων Σκυθοπόλεως πρὸς νότον πλησίον Σαλεὶμ καὶ τοῦ Ἰορδάνου. Στοιχεῖον Β. Ἀπὸ τῆς Γενέσεως. Βαβέλ̣ Gen 11, 9̣, Βαβυλών. ἑρμηνεύεται σύγχυσις. ἦν δὲ πόλις βασιλείας γίγαντος Νεβρώδ, ἡνίκα ἐχύθησαν αἱ γλῶσσαι τῶν τὸν πύργον ἐπινοησάντων, ὧν ἄρχοντα γεγονέναι φησὶν Ἰώσιππος τὸν Νεβρώδ. καὶ μάρτυρα δὲ ὁ αὐτὸς τῆς κατὰ τὸν πύργον ἱστορίας τὴν Ἑλληνικὴν Σίβυλλαν παρατίθεται, γράφων οὕτως· «ὁ δὲ τόπος ἐν ᾧ τὸν πύργον ᾠκοδόμησαν νῦν Βαβυλὼν καλεῖται διὰ τὴν σύγχυσιν τοῦ περὶ τὴν διάλεκτον πρῶτον ἐναργοῦς· Ἑβραῖοι γὰρ τὴν σύγχυσιν Βαβὲλ καλοῦσιν. περὶ δὲ τοῦ πύργου καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων μέμνηται καὶ Σίβυλλα γράφουσα οὕτως· πάντων ὁμοφώνων ὄντων τῶν ἀνθρώπων, πύργον ᾠκοδόμησάν τινες ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐτοῦ. οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες ἀνέτρεψαν τὸν πύργον, καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν· καὶ διὰ τοῦτο Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν». Βαιθήλ̣ Gen 12, 8̣. καὶ νῦν ἐστι κώμη Αἰλίας ἄποθεν σημείοις ιβ΄ ἀπιόντων εἰς Νέαν πόλιν δεξιά· Οὐλαμμαοῦς δὲ τὸ πρότερον ἐκαλεῖτο καὶ Λουζά. ἣ καὶ γέγονε φυλῆς Βενιαμίν, πλησίον Βηθαῦν καὶ τῆς Γαί. καὶ ταύτην δὲ Ἰησοῦς ἐπολιόρκησε, τὸν βασιλέα αὐτῆς ἀνελών. 42 Βαλά ̣Gen 14, 2̣. ἥ «ἐστι Σιγώρ», ἡ νῦν Ζοορὰ καλουμένη, μόνη διασωθεῖσα ἀπὸ τῆς τῶν Σοδομιτῶν χώρας. ἣ καὶ εἰς ἔτι νῦν οἰκεῖται, τῇ νεκρᾷ παρακειμένη θαλάσσῃ, καὶ φρούριόν ἐστι στρατιωτῶν. καὶ φύεταί γε παρ' αὐτῇ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βάλσαμον καὶ ὁ φοῖνιξ, δεῖγμα τῆς παλαιᾶς τῶν τόπων εὐφορίας. Βάλανος πένθους Gen. 35, 8. ὑφ' ἣν ἔθαψαν ἀποθανοῦσαν τὴν τροφὸν Ῥεβέκκας. Βαράδ Gen 16, 14. «ἀνὰ μέσον Κάδης καὶ Βαρὰδ» τὸ φρέαρ τῆς Ἄγαρ εἰς ἔτι νῦν δείκνυται. Βηθλεέμ Gen 35, 19 * * * * φυλῆς Ἰούδα, Αἰλίας ἄποθεν σημείοις ´ ἐπὶ τὰ νότια περὶ τὴν φέρουσαν εἰς Χεβρὼν ὁδόν, ἔνθα τὸ μνῆμα Ἰεσσαὶ καὶ Δαυὶδ δείκνυται. ἐκαλεῖτο δὲ Βηθλεὲμ καὶ ὁ υἱὸς τοῦ Ἐφραθᾶ, ὡς ἐν Παραλειπομέναις. 44 Ἀπὸ τῆς Ἐξόδου. Βεελσεφών Ex 14, 2. πρὸς τῇ ἐρήμῳ σταθμὸς τῶν υἱῶν Ἰσραήλ, ἐξιόντων ἐξ Αἰγύπτου διὰ τοῦ κλύσματος, παρὰ τὴν ἐρυθρὰν θάλασσαν. Ἀριθμῶν καὶ Δευτερονομίου. Βανηϊακάν Num 33, 31f.. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῆς πορείας τοῦ λαοῦ. Βαμώθ Num 21, 19. πόλις τοῦ Ἀμορραίου πέραν τοῦ Ἰορδάνου ἐν τῷ Ἀρνωνᾷ, ἣν ἔλαβον υἱοὶ Ῥουβίν. Βασάν Num 21, 33. Ὢγ βασιλέως Βασάν, ἣν «ὁ Μαχαθὶ ἐπωνόμασεν Αὐὼθ Ἰαείρ», ἣν ἔλαβεν φυλὴ Μανασσῆ, κειμένη ἐν τῇ Γαλαάδ. αὕτη ἐστὶ Βασανῖτις, ἡ νῦν καλουμένη Βαταναία. Βεελφεγώρ Num 25, 3. ἑρμηνεύεται «εἶδος ἀσχημοσύνης». ἔστι δὲ εἴδωλον Μωάβ, ὅ ἐστι Βαὰλ ἐπὶ τοῦ Φογὼρ ὄρους. Βαιάν Num 32, 3. πόλις τοῦ Ἀμορραίου. καὶ αὐτὴν ἔλαβον οἱ υἱοὶ Ῥουβίν. Βηθναμράν Num 32, 36. πέραν τοῦ Ἰορδάνου. ἣν ᾠκοδόμησεν φυλὴ Γάδ. καὶ ἔστι νῦν κώμη Βηθναμβρὶς ὡς ἀπὸ σημείων ε´ Λιβιάδος ἐν βορείοις. Βηθαρράν Num 32, 36. πέραν τοῦ Ἰορδάνου, ἣν ᾠκοδόμησεν φυλὴ Γάδ. Βεελμεών Num 32, 38. πέραν τοῦ Ἰορδάνου, ἣν ᾠκοδόμησαν οἱ υἱοὶ Ῥουβίν. κώμη μεγίστη πλησίον Βααροῦ τῶν θερμῶν ὑδάτων 46 ἐστὶ τῆς Ἀραβίας Βεελμαοὺς καλουμένη, διεστῶσα τῆς Ἐσβοῦς σημείοις θ´. ἐντεῦθεν ἦν Ἐλισσαῖος ὁ προφήτης. Βαάλ Num 32, 38. πέραν τοῦ Ἰορδάνου, πόλις υἱῶν Ῥουβίν. Βουθάν Num 33, 6. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. ἡ καὶ Ἀϊθάμ. Βηλά Num 34, 11. ὅριον τῆς Ἰουδαίας ἀνατολικόν. κεῖται καὶ ἀνωτέρω Ἀρβηλά. Βοσόρ Deut 4, 43. «ἐν τῇ ἐρήμῳ» «πέραν τοῦ Ἰορδάνου», «τῆς φυλῆς Ῥουβίν», «ἀπὸ ἀνατολῶν Ἱεριχώ», πόλις ἱερατικὴ τῶν φυγαδευτηρίων. αὕτη ἐστὶ Βόστρα, ἡ νῦν μητρόπολις τῆς Ἀραβίας. ἔστι δὲ καὶ ἄλλη νῦν Βοσὸρ πόλις τοῦ Ἡσαῦ ἐν ὄρεσι τῆς Ἰδουμαίας, ἧς μέμνηται Ἡσαΐας λέγων· «τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ»; Βηρὼθ «υἱῶν Ἰακείμ» Deut 10, 6. ἐπὶ τῆς ἐρήμου τόπος, ἔνθα ἐτελεύτησεν Ἀαρών. καὶ δείκνυται ἀπὸ ι´ σημείων Πέτρας πόλεως ἐπὶ κορυφῆς τοῦ ὄρους. Ἀπὸ τοῦ Ἰησοῦ. Βουνὸς ἀκροβυστιῶν Jos 5, 3. τόπος ἐν Γαλγάλοις, ἐν ᾧ περιέτεμεν Ἰησοῦς τὸν λαόν, ὡς ἀπὸ δύο σημείων Ἱεριχοῦς, ἔνθα δείκνυνται εἰς ἔτι νῦν οἱ λίθοι, οὓς ἤνεγκαν ἀπὸ τοῦ Ἰορδάνου. Βηθωρών Jos 10, 10. ἔνθα κατεδίωξεν Ἰησοῦς τοὺς βασιλεῖς, ἣ γέγονεν υἱῶν Ἰωσήφ, τοῦ Ἐφραΐμ. καί εἰσι κῶμαι β´ ὡς ἀπὸ σημείων Αἰλίας ιβ´ ἐπὶ τὴν εἰς Νικόπολιν ὁδόν, ὧν ἡ μὲν καλεῖται Βηθωρὼν ἡ ἀνωτέρα, ἣν ᾠκοδόμησε Σολομών, ἡ δὲ κατωτέρα Λευΐταις ἀφωρισμένη. Βαρνή Jos 10, 41. ἡ αὐτή ἐστι τῇ Κάδης Βαρνῆ, ἐρήμῳ τῇ παρατεινούσῃ Πέτρᾳ πόλει. 48 Βααλγάδ Jos 11, 17. πόλις ἐν τῷ πεδίῳ «τοῦ Λιβάνου, ὑπὸ τὸ ὄρος τὸ Ἀερμών». ἣν καὶ αὐτὴν ἀνεῖλεν Ἰησοῦς. Βεθφογόρ Jos 13, 20. πέραν τοῦ Ἰορδάνου, πόλις υἱῶν Ῥουβίν, πλησίον τοῦ Φογὸρ ὄρους, ἀπέναντι Ἱεριχώ, ἀνωτέρω Λιβιάδος σημείων ´. Βηθασιμούθ Jos 12, 3. τόπος τῆς Ἰσιμοῦθ, ἔστι δὲ εἰς ἔτι νῦν κώμη Ἰσιμοὺθ ἀντικρὺ Ἱεριχοῦς ἀπὸ μιλίων ι´ πρὸς νότον παρακειμένη τῇ νεκρᾷ θαλάσσῃ. Βηρώθ Jos 9, 23. ὑπὸ τὴν Γαβαών. καὶ ἔστι νῦν κώμη πλησίον Αἰλίας κατιόντων ἐπὶ Νικόπολιν ἀπὸ ζ´ σημείων. Βοτνία Jos 13, 26 ἡ καὶ Ποτεείν. πέραν τοῦ Ἰορδάνου, πόλις φυλῆς Γάδ. καὶ εἰς ἔτι νῦν ὁμοίως ἐν τοῖς τόποις χρηματίζει. Βηθαράμ Jos 13, 27. πόλις φυλῆς Γάδ, πλησίον τοῦ Ἰορδάνου· Βηθραμφθὰ παρὰ Ἀσσυρίοις. αὕτη δέ ἐστιν ἡ νῦν καλουμένη Λιβιάς. Βηθνεμρά Jos 13, 27. πέραν τοῦ Ἰορδάνου, πόλις φυλῆς Γάδ, πλησίον Λιβιάδος. Βηθαγλά Jos 15, 6. φυλῆς Ἰούδα. κώμη ἐστὶ σημείῳ ι´ Ἐλευθεροπόλεως κατιόντων εἰς Γάζαν Ἄγλα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καλουμένη. καὶ ἄλλη Βηθαγλαὶμ ἀπὸ η´ σημείων παράλιος. Βηθαραβά Jos 15, 6. φυλῆς Ἰούδα. Βαάλ Jos 15, 9. «αὕτη ἐστὶ Καριαθιαρείμ, πόλις Ἰαρείμ», φυλῆς Ἰούδα. καὶ ἔστι κατιόντων ἀπὸ Αἰλίας εἰς Διόσπολιν κώμη Καριαθιαρεὶμ ὡς ἀπὸ σημείων ι´. Βααλὰ Jos 15, 11 ἡ καὶ Βαλά. φυλῆς Ἰούδα. Βαλώθ Jos 15, 24. φυλῆς Ἰούδα. Βεθφαλεὶ Jos 15, 27 ἡ καὶ Βεθελεί. φυλῆς Ἰούδα. 50 Βηρσαβεέ Jos 15, 28; 19, 2. φυλῆς Ἰούδα καὶ Συμεών, ἔτι καὶ νῦν ἐστι κώμη μεγίστη ἀπέχουσα Χεβρὼν σημείοις κ´ πρὸς νότον, ἐν ᾗ καὶ φρούριον στρατιωτῶν ἐγκάθηται· ὅθεν ἀρχὰς εἶχεν τὰ ὅρια τῆς Ἰουδαίας, παρατείνοντα ἐπὶ Δὰν τὴν πλησίον Πανεάδος. ἑρμηνεύεται δὲ Βηρσαβεὲ φρέαρ ὁρκισμοῦ ἀπὸ τῆς Ἀβραὰμ καὶ Ἰσαὰκ πρὸς τὸν Ἀβιμελὲχ ὁρκωμοσίας. οὐ χρὴ δὲ ταράττεσθαι ἐπὶ τῷ τὰς Ἰούδα λεγομένας πόλεις τὰς αὐτὰς εὑρίσκεσθαι ἤτοι Συμεὼν ἢ Βενιαμίν. ἐπειδὴ γὰρ ἡ τοῦ Ἰούδα φυλὴ προκατῆρχεν ἐν τοῖς πολέμοις, εἰκότως αὐτῇ μὲν διὰ τὰ κατορθώματα ἡ τῆς χώρας ἐπεγράφετο κτῆσις, ἐν δὲ τῇ διανομῇ τῶν κλήρων καὶ εἰς ἑτέρας μετεδίδοτο φυλάς. ἐπισημαίνεται δὲ σαφῶς ἡ γραφὴ ὅτι κατῴκησε Συμεὼν ἐν μέσῳ φυλῆς Ἰούδα. Βαλαάμ Jos 15, 29. φυλῆς Ἰούδα. Βασκώθ Jos 15, 39. φυλῆς Ἰούδα. Βηθδαγών Jos 15, 41. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν κώμη μεγίστη Κεπαραδαγὼν μεταξὺ Διοσπόλεως καὶ Ἰαμνίας. Βηθαλώθ Jos 15, 59. φυλῆς Ἰούδα. Βηθαφοῦ Jos 15, 53. φυλῆς Ἰούδα. κώμη ἐπέκεινα Ῥαφίας σημείοις ιδ´ εἰσιόντων εἰς Αἴγυπτον. ἣ καὶ ὅριόν ἐστι Παλαιστίνης. Βηθαραβά Jos 15, 61. Σ´ ἐν τοῖς περὶ τὴν ἀοίκητον. Βεεσθαρά Jos 21, 27. φυλῆς Μανασσῆ, Λευίταις ἀφωρισμένη «ἐν τῇ Βασανίτιδι». Βηθαῦν Jos 18, 12. φυλῆς Βενιαμίν, πλησίον τῆς Γαὶ καὶ τῆς Βεθήλ, ἔναντι Μαχμάς. Βαλιλώθ Jos 18, 17. φυλῆς Βενιαμίν. 52 Βεθσούρ Jos 15, 58. φυλῆς Ἰούδα ἢ Βενιαμίν. καὶ ἔστι νῦν κώμη Βηθσωρὼ ἀπιόντων ἀπὸ Αἰλίας εἰς Χεβρὼν ἐν κ´ σημείῳ, ἔνθα καὶ πηγὴ ἀπὸ ὄρους ἐξιοῦσα δείκνυται, ἐν ᾗ λέγεται ὁ εὐνοῦχος Κανδάκης βεβαπτίσθαι ὑπὸ Φιλίππου. ἔστι δὲ καὶ ἄλλη Βεθσούρ, φυλῆς Ἰούδα, Ἐλευθεροπόλεως ἀπέχουσα σημεῖον ἕν. Βοόν Jos 18, 17. φυλῆς Βενιαμίν. Βηθαλών Jos 18, 19. φυλῆς Βενιαμίν. Σ´ εἰς τὴν πεδιάδα. Βηθαγλά Jos 18, 19. 21. φυλῆς Βενιαμίν. Βηρώθ Jos 18, 25. φυλῆς Βενιαμίν. Βολά Jos 19, 3. κλήρου Συμεών. Βαθούλ Jos 19, 4. κλήρου Συμεών. Βήθ Jos 19, 5. κλήρου Συμεών. Βααλέθ Jos 19, 8. κλήρου Συμεών. Βηραμμώθ Jos 19, 8. κλήρου Συμεών. Βηθλαβαώθ Jos 19, 6. κλήρου Συμεών. Βηθλεέμ Jos 19, 15. κλήρου Ζαβουλών. ἑτέρα ἐστὶν αὕτη τῆς Ἰούδα. Βηθφάσις Jos 19, 21. φυλῆς Ἰσσάχαρ. Βαταί Jos 19, 25. φυλῆς Ἀσήρ. καὶ νῦν καλεῖται κώμη Βεθβετέν, ἀπὸ ὀγδόου σημείου Πτολεμαΐδος εἰς ἀνατολάς. Βηθδαγών Jos 19, 27. συνάπτει «τῷ Ζαβουλών», κλήρου Ἰσσάχαρ. Βηθαεμέκ Jos 19, 27. Σ´ τὴν κοιλάδα. κλήρου Ἀσήρ. Βηθαναθά Jos 19, 38. φυλῆς Νεφθαλείμ. καὶ ἔστι κώμη Βαταναία ἀπὸ ιε´ σημείων Καισαρείας, ἐν ᾗ λέγεται εἶναι λουτρὰ ἰάσιμα. κεῖται δὲ καὶ ἀνωτέρω Ἀναία. 54 Βάνη Jos 19, 45. φυλῆς Δάν. Βαράκ Jos 19, 45. φυλῆς Δάν. εἰς ἔτι νῦν περὶ τὴν Ἄζωτόν ἐστι κώμη Βαρκά. Ἀπὸ τῶν Κριτῶν. Βεζέκ Richt 1, 4, πόλις Ἀδωνιβεζέκ. καὶ νῦν εἰσι κῶμαι β´ Βεζέκ, ἀλλήλων πλησίον, Νέας πόλεως ἀπέχουσαι σημείοις ιζ´ κατιόντων ἐπὶ Σκυθόπολιν. Βηθσάν Richt 1, 27. ταύτης «οὐκ ἐξῆρε» τοὺς ἀλλοφύλους ἡ φυλὴ Μανασσῆ. αὕτη ἐστὶ Σκυθόπολις, ἐπίσημος Παλαιστίνης πόλις. καλεῖ δὲ αὐτὴν ἡ γραφὴ καὶ οἶκον Σάν, ὅπερ ἐστὶν «οἶκος ἐχθροῦ». Βηθσαμές Richt 1, 33. πόλις ἱερατική, φυλῆς Βενιαμίν. καὶ ἔστιν εἰς ἔτι νῦν ἀπέχουσα Ἐλευθεροπόλεως σημείοις ι´ πρὸς ἀνατολὰς μεταξὺ Νικοπόλεως. Βαθμά Richt 1, 33. κλήρου Νεφθαλείμ. οὐδὲ ταύτης ἐξῆρεν τοὺς ἀλλοφύλους. Βηθσαμὲς Richt 1, 33 ἄλλη. φυλῆς Νεφθαλείμ. οὐδὲ ταύτης ἐξῆρεν τοὺς ἀλλοφύλους. Βααλερμών Richt 3, 3. ὄρος παρὰ τὸν Λίβανον, ὅριον τῶν ἀλλοφύλων. Βααλέθ Jos 19, 44. κλήρου Δάν. Βεθβηρά Richt 7, 24. ὕδωρ ὃ προκατελάβετο Γεδεών. Βηθασεττά Richt 7, 22. ἔνθα ἔφυγε Μαδιάμ. Βάλανος Σικίμων Richt 9, 6. ἔνθα ἐβασίλευσεν Ἀβιμέλεχ. δείκνυται ἐν προαστείοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Νέας πόλεως ἐν τῷ τάφῳ Ἰωσήφ. Βορκοννείμ. Richt 8, 7. 16. Ἀ΄ τραγακάνθας, Σ΄ τριβόλους. Βηρά. Richt 9, 21. ἔνθα φυγὼν Ἀβιμέλεχ Ἰωάθαμ κατῴκησεν. ἀπέχει ἡ κώμη Ἐλευθεροπόλεως σημείοις η΄ ἐν τοῖς βορείοις. 56 Βααλθαμάρ. Richt 20, 33, πλησίον Γαβά. ἔνθα παρετάξαντο οἱ υἱοὶ Ἰσραὴλ εἰς πόλεμον τῇ φυλῇ Βενιαμίν. καὶ καλεῖται ἐν τοῖς τόποις εἰς ἔτι Βηθθαμάρ. Βασιλειῶν. Βηθχώρ. I Sam 7, 11f.. ἔνθα κατεδίωξεν ὁ λαὸς «τοὺς ἀλλοφύλους»· καὶ ἐκλήθη «λίθος τοῦ βοηθοῦ». Βαμά. I Sam 9, 12. ἔνθα συνέφαγε Σαοὺλ τῷ Σαμουήλ, μέλλων χρίεσθαι εἰς βασιλέα. ὁ δὲ Ἀκύλας τὸ ἐν Βαμὰ ὑψώματι ἡρμήνευσεν. Βωσῆς. I Sam 14, 4. ὄνομα πέτρας. Βασώρ. I Sam 30, 9. χειμάρρους ἔνθα ἦλθε Δαυίδ. Βωρασάν. I Sam 30, 30. ἔνθα ἀπέστειλε Δαυὶδ «τῶν σκύλων». Βαουρείμ. II Sam 3, 16. ἔνθα τὴν Μελχὼλ κατέστησεν ὁ ἀνὴρ αὐτῆς. Βααλασώρ. II Sam 13, 23. «ἐχόμενα Ἐφραΐμ», ἔνθα ἔκειρον «τῷ Ἀβεσσαλώμ». Βηθμαχά. II Sam 20, 14. * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * Μαχαμείμ. Βάλθ. I Kön 9, 18. πόλις ἣν ᾠκοδόμησε Σολομών. Βαιθσαρισά. II Kön 4, 42. ὅθεν ὁ ἄνθρωπος πρὸς Ἐλισσαῖον. ἔστιν ἐν ὁρίοις Διοσπόλεως ἀπὸ σημείων ιε΄ τοῖς πρὸς βορρᾶν ἐν τῇ Θαμνιτικῇ. Βαιθαγγάν. II Kön 9, 27. ὁδὸς δι' ἧς ἔφυγεν Ὀχοζίας. Βασεκάθ. II Kön 22, 1. πόλις ἀρχαία τῆς Ἰουδαίας. Βαιθακάθ. II Kön 10, 12. ἔνθα ἦλθεν Ἰοῦ. ἔστι κώμη τῆς 58 Σαμαρείας, τῆς Λεγεῶνος ἀπέχουσα σημείοις ιε΄ ἐν τῷ μεγάλῳ πεδίῳ. Ἀ΄ οἴκῳ κάμψεως, Σ΄ οἴκῳ ἑκάστων. Βαιθαννή. II Kön 17, 30 ἡ καὶ Βαινίθ. ταύτην ἔκτισαν οἱ ἀπὸ Βαβυλῶνος Σαμαρεῖται. Βύβλος. Ez 27, 9. πόλις Φοινίκης, ἐν Ἱεζεκιήλ, ἀνθ' οὗ τὸ Ἑβραϊκὸν ἔχει Γοβέλ. Βούβαστος. Ez 30, 17. πόλις Αἰγύπτου ἐν Ἱεζεκιήλ. Βώζ. Jer 25, 23. ἐν γῇ Κηδάρ. ἐν Ἱερεμίᾳ. Βήλ. Jer 50, 2. εἴδωλον Βαβυλῶνος. Ἀπὸ τοῦ Εὐαγγελίου. Βηθσαϊδά. Matth 11, 21. πόλις «Ἀνδρέου καὶ Πέτρου» καὶ Φιλίππου. κεῖται δὲ ἐν τῇ Γαλιλαίᾳ πρὸς τῇ Γεννησαρίτιδι λίμνῃ. Βηθφαγή. Matth 21, 1. κώμη πρὸς τῷ ὄρει τῶν ἐλαιῶν, ἔνθα ἦλθεν κύριος Ἰησοῦς. Βηθανία. Matth 21, 17. κώμη ἐν δευτέρῳ Αἰλίας σημείῳ, ἐν κρημνῷ τοῦ ὄρους τῶν ἐλαιῶν, ἔνθα ὁ Χριστὸς τὸν Λάζαρον ἤγειρεν. δείκνυται εἰς ἔτι καὶ νῦν ὁ Λαζάρου τόπος. Βηθααβαρά. Ioh 1, 28. «ὅπου ἦν Ἰωάννης βαπτίζων», «πέραν τοῦ Ἰορδάνου». καὶ δείκνυται ὁ τόπος, ἐν ᾧ καὶ πλείους τῶν ἀδελφῶν εἰς ἔτι νῦν τὸ λουτρὸν φιλοτιμοῦνται λαμβάνειν. Βηζαθά. Ioh 5, 2. κολυμβήθρα ἐν Ἱερουσαλήμ, ἥτις ἐστὶν «ἡ προβατική», τὸ παλαιὸν ε΄ στοὰς ἔχουσα. καὶ νῦν δείκνυται ἐν ταῖς αὐτόθι λίμναις διδύμοις, ὧν ἑκατέρα μὲν ἐκ τῶν κατ' ἔτος ὑετῶν πληροῦται, θατέρα δὲ παραδόξως πεφοινιγμένον δείκνυσι τὸ ὕδωρ, ἴχνος, ὥς φασι, φέρουσα τῶν πάλαι καθαιρομένων ἐν αὐτῇ ἱερείων. παρ' ὃ καὶ προβατικὴ καλεῖται, διὰ τὰ θύματα. 60 Στοιχεῖον Γ. Ἀπὸ τῆς Γενέσεως. Γαιών. Gen 2, 13. ὁ παρ' Αἰγυπτίοις Νεῖλος, ἐκ παραδείσου μὲν προϊών, κυκλῶν δὲ «πᾶσαν Αἰθιοπίαν». Γόμορρα. Gen 10, 19. μία τῆς πενταπόλεως Σοδόμων ἅμα ταῖς λοιπαῖς ἀφανισθεῖσα. Γέραρα. Gen 20, 1. ἀφ' ἧς νῦν καλεῖται ἡ Γεραριτική, ὑπὲρ τὸν Δαρωμᾶν κειμένη, ἀπέχουσα Ἐλευθεροπόλεως σημείοις κε΄ πρὸς νότον. ἦν δὲ τὸ παλαιὸν τῶν Χαναναίων ὅριον πρὸς μεσημβρίαν, καὶ πόλις βασιλικὴ τῶν Φυλισταίων. κεῖται δέ, ὥς φησιν ἡ γραφή, «ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σούρ», δύο ἐρήμων, τῆς μὲν τῇ Αἰγύπτῳ παρακειμένης, εἰς ἣν κατήντησεν ὁ λαὸς τὴν ἐρυθρὰν θάλασσαν διελθών, τῆς δὲ Κάδης ἐπὶ τὴν τῶν Σαρακηνῶν ἐρημίαν παρατεινούσης. Γαλαάδ. Gen 31, 21. ὄρος εἰς ὃ κατήντησεν Ἰακὼβ φεύγων τὸν Λαβάν, ὁδὸν ἀνύσας «ἡμερῶν ζ΄» ἀπὸ Χαρρὰν τῆς Μεσοποταμίας. κεῖται δὲ ἐπὶ τὰ νῶτα τῆς Φοινίκης καὶ τῆς Ἀραβίας, καὶ συνάπτον τῷ Λιβάνῳ παρατείνει διὰ τῆς ἐρήμου μέχρι τῆς ὑπὲρ τὸν Ἰορδάνην Πέτρας, ἐν ᾗ κατῴκει Σηὼν ὁ Ἀμορραῖος. τοῦτο δέδοται εἰς κλῆρον τοῖς υἱοῖς Ῥουβὶν καὶ Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. καὶ ἐν 62 Ἱερεμίᾳ δὲ «Γαλαάδ, σύ μοι ἀρχὴ τοῦ Λιβάνου» εἴρηται. ἔστι δὲ καὶ Γαλαὰδ πόλις ὁμώνυμος τῷ ὄρει, ἐπ' αὐτῷ κειμένη, ἣν ἔλαβεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπὸ τοῦ Ἀμορραίου «Γαλαὰδ υἱὸς Μαχὶρ υἱοῦ Μανασσῆ». Γάδερ Gen 35, 16. πύργος, ἔνθα κατοικήσαντος τοῦ Ἰακὼβ Ῥουβὶν τῇ Βάλλᾳ ἐπανίσταται. Γεθέμ Gen 36, 35, ὡς δὲ τὸ Ἑβραϊκόν, Αὐείθ. πόλις Ἀδάδ, ὃς ἐβασίλευσε γῆς Ἐδὼμ τέταρτος ἐν τῇ Ἰδουμαίᾳ, τῇ νῦν Γεβαληνῇ καλουμένῃ. Γεσέμ Gen 45, 10. χώρα τῆς Αἰγύπτου, ἐν ᾗ κατῴκησεν Ἰακὼβ ἅμα τοῖς υἱοῖς αὐτοῦ. Ἀριθμῶν καὶ Δευτερονομίου. Γασιὼν Γαβέρ Num 33, 35. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ, ὡς ἐν Ἀριθμοῖς· ὡς δὲ ἐν Δευτερονομίῳ, πόλις Ἡσαῦ.λέγουσι δὲ ταύτην εἶναι τὴν Αἰσίαν πλησίον τῆς ἐρυθρᾶς θαλάσσης καὶ Ἀϊλά. Γαί Num 33, 44. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ. καὶ ἔστιν εἰς ἔτι νῦν Γαῖα πόλις τῇ Πέτρᾳ παρακειμένη. Γελμὼν Δεβλαθαείμ Num 33, 46. ἐπὶ τῆς ἐρήμου σταθμός. Γαδγάδ Num 33, 32. ὄρος ἐπὶ τῆς ἐρήμου, σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Γάζα Deut 2, 23. πόλις τῶν Εὐαίων, ἐν ᾗ κατῴκησαν Καππάδοκες, τοὺς Εὐαίους ἀνελόντες. τὸ παλαιὸν δὲ ἦν ὅριον τῶν Χαναναίων τῶν πρὸς τῇ Αἰγύπτῳ. καὶ ἀφωρίσθη μὲν τῇ φυλῇ Ἰούδα, οὐ μὴν ἐκράτησεν αὐτῆς, οὐδὲ ἠφάνισε τοὺς ἐν αὐτῇ ἀλλοφύλους. μένει δὲ εἰς ἔτι νῦν πόλις ἐπίσημος τῆς Παλαιστίνης. 64 Γεργασεί Deut 7, 1. ἐπέκεινα τοῦ Ἰορδάνου παρακειμένη πόλις τῷ Γαλαάδ, ἣν ἔλαβε φυλὴ Μανασσῆ. αὕτη δὲ λέγεται εἶναι ἡ Γερασά, πόλις ἐπίσημος τῆς Ἀραβίας. τινὲς δὲ αὐτὴν εἶναι τὴν Γάδαράν φασιν. μέμνηται δὲ καὶ τὸ Εὐαγγέλιον τῶν Γερασσινῶν. Γαδγαδά Deut 10, 7. ἔνθα «χειμάρροι ὑδάτων», τόπος ἐπὶ τῆς ἐρήμου. Γαυλὼν Deut 4, 43 ἢ Γωλάν. φυλῆς Μανασσῆ, πόλις ἱερατικὴ τῶν φυγαδευτηρίων «ἐν τῇ Βασανίτιδι». καὶ νῦν Γαυλὼν καλεῖται κώμη μεγίστη ἐν τῇ Βαταναίᾳ. ὁμωνυμεῖ δὲ τῇ κώμῃ καὶ ἡ περίχωρος. Γαιβάλ Deut 11, 29. ὄρος ἐν τῇ γῇ τῆς ἐπαγγελίας, ἔνθα κελεύει Μωϋσῆς στῆσαι θυσιαστήριον. καὶ λέγεται παρακεῖσθαι τῇ Ἱεριχὼ ὄρη δύο κατὰ πρόσωπον ἀλλήλων καὶ πλησίον, ὧν τὸ μὲν εἶναι Γαριζείν, τὸ δὲ Γαιβάλ. Σαμαρεῖται δὲ ἕτερα δεικνύουσιν τὰ τῇ Νέᾳ πόλει παρακείμενα, σφαλλόμενοι, ὅτι δὴ πλεῖστον διεστήκασιν ἀλλήλων τὰ ὑπ' αὐτῶν δεικνύμενα, ὡς μὴ δύνασθαι ἀλλήλων ἀκούειν τοὺς ἑκατέρωθεν βοῶντας. Γαριζείν Deut 11, 29. ὄρος ἔνθα ἔστησαν οἱ τὰς εὐλογίας καταλέγοντες, πλησίον τοῦ προειρημένου Γαιβάλ. Γολγὼλ Deut 11, 30 ἡ καὶ Γαλγάλ. ταύτης εἶναι πλησίον ἡ γραφὴ διδάσκει τὸ Γαριζεὶν καὶ τὸ Γαιβὰλ ὄρος. ἡ δὲ Γάλγαλα τόπος ἐστὶ τῆς Ἱεριχοῦς. Γαί «ἐν γῇ Μωάβ» Deut. 34, 6. φάραγξ τῆς Μωάβ. «ἐγγὺς οἴκου Φογώρ», ἔνθα ἔθαψαν τὸν Μωϋσῆν. Ἀπὸ τοῦ Ἰησοῦ. Γάλγαλα Jos 4, 19. ἡ αὐτή ἐστι τῇ ἀνωτέρω κειμένῃ Γολγὼλ «πρὸς ἡλίου ἀνατολαῖς» τῆς πάλαι Ἱεριχὼ εἴσω τοῦ Ἰορδάνου, ἔνθα 66 περιέτεμεν Ἰησοῦς τοὺς ἀπὸ τοῦ λαοῦ, καὶ «τὸ πάσχα» ἤγαγεν, καὶ πρώτως σίτου μετέλαβον ἐκλείποντος τοῦ μάννα, καὶ ἔστησαν τοὺς ἀπὸ «τοῦ Ἰορδάνου» λίθους. ἐν ταύτῃ πρῶτον κατέμεινεν ἡ σκηνὴ τοῦ μαρτυρίου. καὶ γέγονε κλήρου φυλῆς Ἰούδα. δείκνυται ὁ τόπος ἔρημος ὡς ἀπὸ δύο σημείων Ἱεριχοῦς, ὑπὸ τῶν ἐθνῶν ὡς ἱερὸς θρησκευόμενος. καὶ ἄλλη δὲ ἔοικεν εἶναι Γάλγαλα περὶ τὴν Βαιθήλ. Γαί ςος 7, 2. ἥτις ἐστὶ πλησίον Βηθαῦν καὶ Βαιθήλ, ἣν ἐπολιόρκησεν Ἰησοῦς τὸν βασιλέα αὐτῆς ἀνελών. ἔστι δὲ νῦν ἔρημος. κατῴκει δὲ αὐτὴν τὸ παλαιὸν ὁ εἴσω τοῦ Ἰορδάνου Ἀμορραῖος. Γαβαών Jos 9, 9ff.. ὅθεν ἐλθόντες οἱ Γαβαωνῖται ἱκέται γίνονται τοῦ Ἰησοῦ. ἦν δὲ αὕτη μητρόπολις μεγάλη καὶ βασιλικὴ τῶν Εὐαίων, ἣ καὶ γέγονε κλήρου Βενιαμίν. καὶ ἔστι κώμη νῦν οὕτω καλουμένη πλησίον Βαιθὴλ πρὸς δυσμάς, ὡς ἀπὸ σημείων δ' παράκειται δὲ τῇ Ῥαμᾶ, καὶ ἀφώριστο Λευίταις πλησίον Ῥεμμαά. ἐνταῦθα Σολομὼν θύσας χρησμοῦ καταξιοῦται. Γαϊβέ Jos 18, 24. κλήρου Βενιαμίν, καὶ αὐτὴ Λευίταις ἀφωρισμένη. Γαζέρ Jos 10, 33. κλήρου Ἐφραΐμ, Λευίταις ἀφωρισμένη. καὶ ταύτην ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. ἣν καὶ ᾠκοδόμησε Σολομών. καὶ νῦν καλεῖται Γαζάρα κώμη Νικοπόλεως 68 ἀπέχουσα σημείοις δ´ ἐν βορείοις. οὐ μὴν ἀνεῖλεν ἐξ αὐτῆς τοὺς ἀλλοφύλους ἡ φυλὴ Ἐφραΐμ. Γοσόν Jos 10, 41. καὶ ταύτην ἐπολιόρκησεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰησοῦς. Γέθ Jos 11, 22. ἐν ταύτῃ κατελείφθησαν οἱ Ἐνακεὶμ ἀλλόφυλοι καὶ οἱ Φυλισταῖοι μὴ ἐξολοθρευθέντες. καὶ ἔστιν εἰς ἔτι καὶ νῦν κώμη παριόντων ἀπὸ Ἐλευθεροπόλεως ἐπὶ Διόσπολιν περὶ πέμπτον σημεῖον τῆς Ἐλευθεροπόλεως. Γεσουρείμ Jos 12, 5. πόλις ἀλλοφύλων. αὕτη δέ ἐστι Γαργασεὶ ἐν τῇ Βασανίτιδι, ἀφ' ἧς «οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν Γεσουρεί». Γαδέρ Jos 12, 13. καὶ ταύτης τὸν βασιλέα ἐπάταξεν Ἰησοῦς. καὶ Ἰακὼβ δὲ «ἐπέκεινα τοῦ πύργου Γαδὲρ ἔπηξε τὴν σκηνὴν αὐτοῦ». Γωεὶν τῆς Γελγέλ Jos 12, 23. Ἀ΄ Σ΄ ἐθνῶν τῆς Γελγέλ. Γελγέλ Jos 12, 23. καὶ ταύτην εἶλεν Ἰησοῦς. ἔστι δὲ καὶ νῦν κώμη Γαλγουλὶς λεγομένη, Ἀντιπάτριδος ὡς ἀπὸ σημείων ἓξ ἐν τοῖς βορείοις. Γολαθμάειμ Jos 15, 19. τόπος· ἑρμηνεύεται κτῆσις ὕδατος. Γαδδά Jos 15, 27. φυλῆς Ἰούδα. κώμη εἰς ἔτι καὶ νῦν ἐστιν ἐν ἐσχάτοις τοῦ Δαρωμᾶ πρὸς ἀνατολὰς ἐπὶ τῇ νεκρᾷ θαλάσσῃ. Γάδειρα Jos 15, 36, φυλῆς Ἰούδα. Γίδωρά ἐστι νῦν κώμη ἐν ὁρίοις Αἰλίας περὶ τὴν τερέβινθον. Γεδούρ Jos 15, 58. φυλῆς Ἰούδα. καὶ νῦν ἐστι Γεδροὺς κώμη μεγίστη ἀπὸ ι΄ σημείων Διοσπόλεως ἀπιόντων εἰς Ἐλευθερόπολιν. Γαβλί Jos 13, 5. γῆ τῶν ἀλλοφύλων. Γισών Jos 15, 51. φυλῆς Ἰούδα. Γηλών Jos 15, 51. φυλῆς Ἰούδα. Γαδηρώθ Jos 15, 41. φυλῆς Ἰούδα. Γεθρεμμών Jos 21, 25. φυλῆς Μανασσῆ, πόλις Λευίταις ἀφωρισμένη. 70 Γαί Jos 18, 16. φάραγξ. Γαιεννούμ Jos 18, 16. ἑρμηνεύεται φάραγξ τοῦ Ἐννούμ. ταύτην δὲ λέγουσιν εἶναι τὴν γέενναν. κλήρου φυλῆς Βενιαμίν. προσπαράκειται τῷ τείχει Ἱερουσαλὴμ πρὸς ἀνατολάς. Γεθθεφέρ Jos 19, 13. κλήρου Ζαβουλών, Γηεφθαέλ Jos 19, 14. φάραγξ Ἐφθαέλ, κλήρου Ζαβουλών. Γαβαθών Jos 19, 44. κλήρου Δάν, πόλις Λευίταις ἀφωρισμένη. καὶ ἔστι πολίχνη Γαβὲ καλουμένη ὡς ἀπὸ σημείων ι΄ τῆς Καισαρείας καὶ ἄλλη κώμη Γαβαθὰ ἐν ὁρίοις Διοκαισαρείας παρακειμένη τῷ μεγάλῳ πεδίῳ τῆς Λεγεῶνος. ἔστι δὲ καὶ Γαβαὰ καὶ Γαβαθὰ κώμη ἐν ἀνατολαῖς τοῦ Δαρωμᾶ. καὶ ἄλλη Γαβαθὰ κλήρου Βενιαμίν, ἔνθα ἦν ὁ οἶκος Σαούλ. καὶ ἄλλη τῶν ἀλλοφύλων Γαβαθὼν λέγεται ἐν Βασιλείαις. Γεθρεμμὼν ἑτέρα Jos 19, 45. κλήρου Δάν, Λευίταις ἀφωρισμένη. καὶ νῦν ἐστι κώμη μεγίστη ἀπὸ σημείων ιβ΄ Διοσπόλεως ἀπιόντων εἰς Ἐλευθερόπολιν. Γαλειλώθ Jos 22, 10. τόπος παρὰ τὸν Ἰορδάνην, ἔνθα θυσιαστήριον ἔστησαν οἱ υἱοὶ Ῥουβίν. φυλῆς Βενιαμίν. Γαάς Jos 24, 30. ὄρος Ἐφραΐμ, οὗ ἐν βορείοις ἔθαψαν Ἰησοῦν. δείκνυται δὲ ἐπίσημον εἰς ἔτι νῦν αὐτοῦ τὸ μνῆμα πλησίον Θαμνὰ κώμης. Γαβαάς Jos 24, 33. ὄρος Ἐφραΐμ, Φινεὲς πόλις, υἱοῦ Ἐλεάζαρ, οὗ ἔθαψαν τὸν Ἐλεάζαρον. καὶ εἰς ἔτι νῦν ἐστι Γαβαθὰ κώμη, ὡς ἀπὸ ιβ΄ σημείων Ἐλευθεροπόλεως, ἔνθα καὶ τὸ μνῆμα Ἀμβακοὺμ ἐπιδείκνυται τοῦ προφήτου. ἦν δὲ φυλῆς Βενιαμίν. Γαβαάν Jos 21, 17. μέχρι ταύτης ἐπολέμησαν Βενιαμίν, ὡς ἐν Κριταῖς. 72 Βασιλειῶν. Γεθθά I Sam 5, 8. ἐνταῦθα μετήνεγκαν τὴν κιβωτὸν ἀπὸ Ἀζώτου. καὶ νῦν ἐστι μεγίστη κώμη, ἣ καλεῖται Γιθθάμ, μεταξὺ ἀνιόντων ἀπὸ Ἀντιπατρίδος εἰς Ἰαμνίαν. ἔστι δὲ καὶ ἄλλη Γεθθείμ. Γαλλεί I Sam 25, 44. ὅθεν ἦν Φαλτεὶ ὁ λαβὼν τὴν Μελχὸλ «γυναῖκα Δαυίδ.» μέμνηται ταύτης καὶ Ἡσαΐας. λέγεται δὲ πλησίον Ἀκκαρὼν εἶναί τις κώμη Γαλλαΐα καλουμένη. Γελαμσούρ I Sam 27, 8. χώρα ἀλλοφύλων. Γελβουέ I Sam 28, 4. ὄρη ἀλλοφύλων, Σκυθοπόλεως ἀπέχοντα ΄ σημείοις, ἐν οἷς καὶ κώμη καλεῖται Γελβοῦς. Γεδδούρ I Sam 30, 8. ἔνθα κατέβη Δαυίδ. Ἀ΄ τὸν εὔζωνον, Σύμμαχος τὸν λόχον. Γαζηρά II Sam 5, 25. ἔνθα ἐπάταξε Δαυὶδ «τοὺς ἀλλοφύλους.» καὶ ἀνωτέρω κεῖται Γαζέρ. Γεσσούρ II Sam 15, 8. χώρα ἀλλοφύλων ἐπὶ τῆς Συρίας. Γιλών II Sam 15, 12. ὅθεν ἦν Ἀχιτόφελ. Γόβ II Sam 21, 19. ἔνθα συνέστη πόλεμος. Γαλιλαία I Kön 9, 11. δύο εἰσὶ Γαλιλαῖαι, ὧν ἡ μὲν Γαλιλαία ἐθνῶν εἴρηται, ἐν ὁρίοις Τυρίων παρακειμένη, ἔνθα ἔδωκε Σολομὼν «τῷ Χιρὰμ κ΄ πόλεις», κλήρου Νεφθαλείμ, ἡ δέ ἐστιν ἀμφὶ τὴν Τιβεριάδα καὶ τὴν πρὸς αὐτῇ λίμνην, κλήρου Ζαβουλών. Γειών I Kön 1, 33. ἔνθα χρίεται Σολομών. Γήρ II Kön 9, 27. ἔνθα ἐπάταξεν Ἰοῦ τὸν Ὀχοζίαν «ἐγγὺς Ἰεβλαάμ». Γεθθαχοφέρ II Kön 14,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

25̣. ἔνθεν ἦν Ἰωνᾶς ὁ προφήτης. Γαδδεί̣ II Kön 12, 18̣. ταύτην ἐπάταξεν Ἀζαήλ. κεῖται δὲ καὶ ἀνωτέρω Γαδδά. Γημελά̣ II Kön 14, 7̣. χώρα Ἐδώμ. Ἀ΄ δὲ καὶ Σύμμαχος φάραγγα ἁλῶν. 74 Γηβείν̣ Jes 10, 31̣. ταύτης Ἡσαΐας μνημονεύει. καὶ νῦν ἐστι Γηβὰ κώμη ἀπὸ σημείων ε΄ Γουφνῶν ἐρχομένων εἰς Νέαν πόλιν. Γωζάν̣ Jes 37, 12̣. ἐν χώρᾳ Ἐμάθ. καὶ ταύτης Ἡσαΐας μέμνηται. ἔστι δὲ περὶ τὴν Δαμασκηνήν. Γαρήβ̣ Jer 31, 39̣. βουνὸς πλησίον Ἱερουσαλήμ. ἐν Ἱερεμίᾳ. Γηβαρώθ̣ Jer 41, 17̣. Ἀ΄ ἐν φραγμοῖς, Σ΄ ἐν παροικίαις. ἐν Ἱερεμίᾳ. Γαιμώδ̣ Jes 16, 6̣. χώρα Μωάβ. ἐν Ἡσαΐᾳ. Γαιφά̣ Jes 60, 6̣. χώρα. ἐν Ἡσαΐᾳ. Ἀπὸ τῶν Εὐαγγελίων. Γάδαρα̣ Matth 8, 28̣. πόλις πέραν τοῦ Ἰορδάνου, ἀντικρὺ Σκυθοπόλεως καὶ Τιβεριάδος πρὸς ἀνατολαῖς ἐν τῷ ὄρει, οὗ πρὸς ταῖς ὑπωρείαις τὰ τῶν θερμῶν ὑδάτων λουτρὰ παράκειται. Γεργεσά̣ Marc 5, 1̣. ἔνθα τοὺς δαιμονιῶντας ὁ κύριος ἰάσατο. καὶ νῦν δείκνυται ἐπὶ τοῦ ὄρους κώμη παρὰ τὴν λίμνην Τιβεριάδος, εἰς ἣν καὶ οἱ χοῖροι κατεκρημνίσθησαν. κεῖται καὶ ἀνωτέρω. Γεθσιμανῆ̣ Matth 26, 36̣. χωρίον, ἔνθα πρὸ τοῦ πάθους ὁ Χριστὸς προσηύξατο. κεῖται δὲ καὶ πρὸς τῷ ὄρει τῶν ἐλαιῶν, ἐν ᾧ καὶ νῦν τὰς εὐχὰς οἱ πιστοὶ ποιεῖσθαι σπουδάζουσιν. Γολγοθά̣ Matth 27, 33̣. «κρανίου τόπος», ἔνθα ὁ Χριστὸς ἐσταυρώθη. ὃς καὶ δείκνυται ἐν Αἰλίᾳ πρὸς τοῖς βορείοις τοῦ Σιὼν ὄρους. Στοιχεῖον Δ. Ἀπὸ τῆς Γενέσεως. Δασέμ̣ Gen 10, 12̣. πόλις Ἀσσυρίων μεγίστη, ἣν ᾠκοδόμησεν Ἀσσούρ, «ἀνὰ μέσον Νινευῆ καὶ Χαλάχ». 76 Δρῦς Μαμβρῆ̣ Gen 13, 18̣. ἡ πρὸς τῇ Χεβρὼν εἰς ἔτι νῦν δεικνυμένη τερέβινθος, ἔνθα ἐσκήνου Ἀβραάμ, ἣ καὶ ὑπὸ τῶν ἐθνῶν θρησκεύεται. Δαμασκός̣ Gen 15, 2̣. πόλις ἐπίσημος Φοινίκης. οὕτω δὲ καὶ «τῆς Μασὲκ οἰκογενοῦς» τοῦ Ἀβραὰμ υἱὸς ἐκαλεῖτο. Δάν̣ Gen 14, 14̣. οὕτω καλουμένη κώμη, Πανεάδος ἀπὸ σημείων δ' κατὰ τὴν ὁδὸν τὴν ἐπὶ Τύρον, ἥτις καὶ ὅριον τῆς Ἰουδαίας ὑπῆρχεν, ἔνθεν καὶ ὁ Ἰορδάνης ἔξεισιν. Δαναβᾶ̣ Gen 36, 32̣. πόλις Βαλὰκ υἱοῦ Βεὼρ βασιλέως Ἐδώμ, μεθ' ὃν ἐβασίλευσεν Ἰώβ. καὶ ἔστι νῦν κώμη Δαννεὰ ἀπὸ η΄ σημείων Ἀρεοπόλεως ἀπιόντων εἰς τὸν Ἀρνωνᾶν, καὶ ἄλλη Δαναβᾶ ἐπὶ τοῦ ὄρους Φογὼρ ἀπὸ σημείων ζ΄ τῆς Ἐσβοῦς. Δωθαείμ̣ Gen 37, 17̣. ἔνθα εὗρεν Ἰωσὴφ τοὺς ἀδελφοὺς νέμοντας. διαμένει ἐν ὁρίοις Σεβαστῆς, ἀπέχει δὲ αὐτῆς σημείοις ιβ΄ ἐπὶ τὰ βόρεια μέρη. Ἀριθμῶν καὶ Δευτερονομίου. Δαιβὼν̣ Num 21, 26f. 30̣ ἢ Δίβων. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ. ἔστι δὲ καὶ ἄλλη εἰς ἔτι νῦν κώμη παμμεγέθης παρὰ τὸν Ἀρνωνᾶν, ἣν τὸ παλαιὸν οὖσαν τῶν υἱῶν Μωὰβ καὶ μετὰ ταῦτα Σηὼν τοῦ Ἀμορραίου οἱ υἱοὶ Ἰσραὴλ ἀπέλαβον, καὶ γέγονε φυλῆς Γάδ. μέμνηται δὲ αὐτῆς Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος», καὶ Ἱερεμίας. Δαιβωνγάδ̣ Num 33, 45̣. σταθμὸς υἱῶν Ἰσραήλ. 78 Δυσμαὶ Μωάβ̣ Num 22, 1ff̣. «παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχώ», ἔνθα Βαλὰκ «βασιλεὺς Μωὰβ» καὶ «ἡ γερουσία Μαδιὰμ» συσκευάζονται τὸν Ἰσραήλ, ἔνθα καὶ Μωϋσῆς τὸ Δευτερονόμιον γράφει. Ἀπὸ τοῦ Ἰησοῦ. Δαβειρά ̣Jos 10, 38̣, ἧς τὸν βασιλέα ἐπάταξεν Ἰησοῦς. ἣ γέγονε φυλῆς Δάν. καὶ νῦν ἐστιν ἑτέρα κώμη Ἰουδαίων ἐν τῷ ὄρει Θαβώρ, ἐν ὁρίοις Διοκαισαρείας. Δὼρ τοῦ Ναφέθ̣ Jos 11, 12̣, Σ΄ Δὼρ «τῆς παραλίας», αὕτη ἐστὶ Δῶρα ἡ πρὸς Καισάρειαν τῆς Παλαιστίνης ἀπὸ σημείων θ΄ ἀπιόντων Τύρον, νῦν ἔρημος ἣν οὐκ ἔλαβεν ἡ φυλὴ Μανασσῆ, ὅτι μὴ ἀνεῖλεν τοὺς ἐν αὐτῇ ἀλλοφύλους. Δαβείρ̣ Jos 11, 21̣. φυλῆς Ἰούδα, πόλις καλουμένη γραμμάτων. ἣν προκατελάβετο Γοθονιὴλ ἀδελφὸς Χαλέβ, ὡς δέ τινες, ἀδελφοῦ Χαλὲβ υἱός, ἀνελὼν τοὺς Ἐνακεὶμ ἐξ αὐτῆς. ἣ γέγονεν ἱερατική. Δαβείρ̣ Jos 13, 26̣. ὑπὲρ τὸν Ἰορδάνην. πόλις τῶν Ἀμορραίων. Δειμωνά̣ Jos 15, 22̣. φυλῆς Ἰούδα. Δαλαάν̣ Jos 15, 38̣. φυλῆς Ἰούδα. Δεννά̣ Jos 15, 49̣. φυλῆς Ἰούδα, ἡ αὐτή ἐστιν τῇ πόλει τῶν γραμμάτων. Δαυίδ̣ Jos 15, 49̣. φυλῆς Ἰούδα. Δουμᾶ̣ Jos 15, 52̣. φυλῆς Ἰούδα, κώμη μεγίστη νῦν ἐν τῷ Δαρωμᾷ, ἐν ὁρίοις Ἐλευθεροπόλεως, ἀπὸ σημείων ιζ΄. Δαμνά̣ Jos 19, 13̣. φυλῆς Ζαβουλών, πόλις Λευίταις ἀφωρισμένη. Δαβασθέ̣ Jos 19, 11̣. φυλῆς Ζαβουλών. Δαβράθ ̣Jos 19, 22̣. φυλῆς Ἰσσάχαρ, πόλις Λευίταις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀφωρισμένη. 80 Ἀπὸ τῶν Κριτῶν. Δρῦς Richt 6, 11, ἡ «ἐν Ἐφραθά». ἐν κλήρῳ Μανασσῆ, ἔνθα ἦν Γεδεών. Ἀπὸ τῶν Βασιλειῶν. Δειβών Jes 15, 2. μέμνηται ταύτης Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Δεσέθ Jes 16, 7. Ἀ΄ τοίχῳ, Σ΄ τείχει. Δωδάνειμ Jes 21, 13. Ἡσαΐας ἐν ὁράσει τῆς Ἀραβίας. καὶ ἔστι πλησίον Ἀρεοπόλεως. Δαρώμ Ez 20, 46. Σ΄ λίβα. ἐν Ἰεζεκιήλ. Διόσπολις Ez 30, 14. πόλις Αἰγύπτου. ἐν Ἰεζεκιήλ. Δαδάν Jer 25, 23. ἐν γῇ Κηδάρ, ὡς Ἱερεμίας. Δεβλαθαείμ Jer 48, 22. ἐν γῇ Μωάβ, ὡς Ἱερεμίας. Δαιδάν Jer 49, 8. ἐν τῇ Ἰδουμαίᾳ ὡς Ἱερεμίας. παράκειται τῇ Φαινὼν ὡς ἀπὸ σημείων δ' πρὸς βορρᾶν. Δεκάπολις Matth 4, 25. ἐν Εὐαγγελίοις. αὕτη ἐστὶν ἡ ἐπὶ τῇ Περαίᾳ κειμένη ἀμφὶ τὴν Ἵππον καὶ Πέλλαν καὶ Γαδάραν. Στοιχεῖον Ε. Ἀπὸ τῆς Γενέσεως. Ἐδέμ Gen 2, 8. ὁ τοῦ θείου παραδείσου τόπος εἰς ἀνατολάς. ἑρμηνεύεται δὲ τρυφή. Εὐειλάτ Gen 2, 11f., «οὗ ἐστι τὸ χρυσίον» καὶ «ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος». χώρα πρὸς ἀνατολάς, ἣν προϊὼν ἐκ παραδείσου Φισὼν κυκλοῖ, ὁ παρ' Ἕλλησι Γάγγης, «ἐπὶ τὴν Ἰνδικὴν φερό 82 μενος». καὶ ἑνὸς δὲ τῶν ἀπογόνων Νῶε ἦν ὄνομα Εὐειλάτ, ὃν σὺν τοῖς ἀδελφοῖς Ἰώσιππος «ἀπὸ Κωφῆνος ποταμοῦ τῆς Ἰνδικῆς καὶ τῆς πρὸς αὐτῇ Σηρίας» κατοικῆσαι ἱστορεῖ. Ἰσμαὴλ δὲ λέγεται κατοικῆσαι ἐπὶ τῆς ἐρήμου Εὐιλά, ἥν φησιν ἡ γραφὴ μεταξὺ εἶναι ἐρήμου Σοὺρ τῆς «κατὰ πρόσωπον Αἰγύπτου», καὶ παρατείνειν μέχρι τῆς Ἀσσυρίων γῆς. Εὐφράτης Gen 2, 14. ποταμὸς Μεσοποταμίας, ἐκ παραδείσου προϊών. Ἐλλασάρ Gen 14, 1. πόλις βασιλείας Ἀριώχ. Ἐφραθά Gen 35, 16. 19. χώρα Βηθλεὲμ τῆς πόλεως Δαυίδ, ἐφ' ἧς ὁ Χριστὸς ἐγεννήθη. φυλῆς Βενιαμίν. ἧς πρὸς «τῇ ὁδῷ» ἔθαψαν τὴν Ῥαχήλ, ἀπὸ σημείων δ΄ τῆς Ἱερουσαλήμ, ἐν τῷ καλουμένῳ ἱπποδρόμῳ. δείκνυται τὸ μνῆμα εἰς ἔτι νῦν. καὶ ὁ πατὴρ τοῦ Βηθλεὲμ ἐκαλεῖτο Ἐφραθά, ὡς ἐν Παραλειπομέναις. Ἀπὸ τῆς Ἐξόδου. Εἰρώθ Ex 14, 2. τόπος τῆς ἐρήμου, ἐφ' ὃν κατήντησαν ἀπὸ τῆς Αἰγύπτου, ἐφ' οὗ διῆλθον τὴν ἐρυθρὰν θάλασσαν. Ἀριθμῶν καὶ Δευτερονομίου. Ἐμπυρισμός Num 11, 3. τόπος τῆς ἐρήμου, ἔνθα οἱ καταλαλήσαντες τοῦ θεοῦ κατεφλέχθησαν. Ἐνθαάθ Num 33, 26. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ἐβρωνά Num 33, 34. ἐπὶ τῆς ἐρήμου σταθμὸς τοῦ λαοῦ. Ἐμάθ Num 13, 22. ᾗ διῆλθον οἱ περὶ τὸν Ἰησοῦν κατάσκοποι. Ἐρμανά Num 14, 45. ἔνθα ἐκόπη μέρος τοῦ λαοῦ ὑπὸ τοῦ ἐν τῇ ἐρήμῳ Χαναναίου καὶ τοῦ Ἀμαλήκ. τοῦτον δὲ τὸν Χαναναῖον Ἀμορραῖον ἐν τῷ Δευτερονομίῳ καλεῖ. 84 Ἐσσεβών Num 21, 26. «πόλις Σηὼν» τοῦ Ἀμορραίου «ἐν γῇ Γαλαάδ», ἣν ἔλαβε πολεμήσας τὸν βασιλέα Μωάβ. μέμνηται αὐτῆς Ἡσαΐας, ἐν ὁράσει τῆς Μωαβίτιδος, καὶ Ἱερεμίας. καλεῖται δὲ νῦν Ἐσβοῦς, ἐπίσημος πόλις τῆς Ἀραβίας, ἐν ὄρεσι τοῖς ἀντικρὺ τῆς Ἱεριχοῦς κειμένη, ὡς ἀπὸ σημείων κ΄ τοῦ Ἰορδάνου. καὶ γέγονε φυλῆς Ῥουβίν, Λευίταις ἀφωρισμένη. Ἐδραεί Num 21, 33. ἔνθα ἀνῃρέθη Ὢγ βασιλεὺς Βασὰν γίγας καὶ οἱ αὐτοῦ πάντες. καὶ νῦν ἐστιν Ἀδρὰ πόλις ἐπίσημος τῆς Ἀραβίας, διεστῶσα Βόστρης σημείοις κδ΄. Ἐλεάλη Num 32, 3. πόλις ἐν τῇ Γαλαὰδ τοῦ Ἀμορραίου, ἣ γέγονε φυλῆς Ῥουβίν. ἧς μέμνηται Ἡσαΐας ἐν ὁράσει τῆς Μωαβίτιδος. κεῖται καὶ ἐν Ἱερεμίᾳ. καὶ σῴζεται εἰς ἔτι νῦν κώμη μεγίστη, οὐ πλεῖον σημείου ἑνὸς ἀπέχουσα τῆς Ἐσβοῦς. Ἐννά Num 34, 4. παράκειται τῇ ἐρήμῳ Κάδης. Ἑρμών Deut 3, 9. ὄρος Ἑρμών, ὃ «οἱ Φοίνικες» ὀνομάζουσι Σανιώρ. κεῖται καὶ ἀνωτέρω. Ἀπὸ τοῦ Ἰησοῦ. Ἐμεκαχώρ Jos 7, 26. ἑρμηνεύεται κοιλὰς Ἀχώρ, ἔνθα ἐλιθοβόλησαν τὸν Ἄχαρ κλέψαντα τὸ ἀνάθεμα, ἐφ' οὗ καὶ τῆς προσωνυμίας ἔτυχεν. πλησίον Ἱεριχοῦς δείκνυται εἰς ἔτι νῦν ὁ τόπος παρὰ τὴν Γάλγαλα. Ἐγλώμ Jos 10, 3; 12, 12 ἡ καὶ Ὀδολλάμ. ἧς τὸν βασιλέα Δαβεὶρ ἐπάταξεν Ἰησοῦς. φυλῆς Ἰούδα. καὶ νῦν ἐστι κώμη μεγίστη πρὸς ἀνατολὰς Ἐλευθεροπόλεως, ἀπὸ σημείων ι΄. κεῖται καὶ ἀνωτέρω. Ἐνεμέκ Jos 10, 12. Ἀ΄ Σ΄ ἐν τῇ κοιλάδι. Ἐσὼρ Jos 11, 1 ἡ καὶ Ἀσώρ. φυλῆς Ἰούδα, πρὸς τῇ ἐρήμῳ. κεῖται καὶ ἀνωτέρω. Ἐνακείμ Jos 11, 21. ἐκ ταύτης Ἰησοῦς ἀνεῖλεν «τοὺς Ἐνακεὶμ ἐκ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀρεινῆς ἐκ Χεβρών». 86 Ἐφρών Jos 15, 9. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν κώμη Ἐφραΐμμεγίστη περὶ τὰ βόρεια Αἰλίας ὡς ἀπὸ σημείων κ΄. Ἐδραΐ Jos 15, 21. φυλῆς Ἰούδα. Ἐθνάν Jos 15, 23. φυλῆς Ἰούδα. Ἐβεζιουθία Jos 15, 28. φυλῆς Ἰούδα. Εὐείν Jos 15, 29. φυλῆς Ἰούδα. Ἐλθωλάδ Jos 15, 30. φυλῆς Ἰούδα. Ἐρέβ Jos 15, 52. φυλῆς Ἰούδα. Ἐρέμινθά ἐστι νῦν κώμη ἐν τῷ Δαρωμᾷ. Ἐσσάν Jos 15, 52. φυλῆς Ἰούδα. Ἐλούλ Jos 15, 58. φυλῆς Ἰούδα. * * * * * * * * * * * * * * * * * * * * * * * Ἐλθεκέ Jos 15, 59. φυλῆς Ἰούδα. καὶ νῦν ἐστι Θεκουὰ κώμη Αἰλίας ἀπὸ σημείων ιβ΄ ἐξ ἀνατολῶν. ἔνθεν ἦν Ἀμὼς ὁ προφήτης, οὗ καὶ τὸ μνῆμα αὐτόθι εἰς ἔτι νῦν δείκνυται. Ἐνγάδδι Jos 15, 62. φυλῆς Ἰούδα. ἔνθα ἐκρύπτετο Δαυὶδ ἐπὶ τῆς ἐρήμου τῆς ἐν τῷ Αὐλῶνι Ἱεριχοῦς. καὶ νῦν ἐστι κώμη μεγίστη Ἰουδαίων Ἐνγάδδι, παρακειμένη τῇ νεκρᾷ θαλάσσῃ, ὅθεν τὸ ὀποβάλσαμον. κεῖται καὶ ἀνωτέρω Γάδδι. Ἐσθεμώ Jos 15, 50. πόλις ἱερατική. καὶ νῦν ἐστι κώμη μεγίστη Ἰουδαίων ἐν τῷ Δαρωμᾷ, ὁρίου Ἐλευθεροπόλεως. Ἐμεκραφαείμ Jos 18, 16. Ἀ΄ Σ΄ ἐν κοιλάδι Ῥαφαείμ. κλήρου Βενιαμίν. Ἐδωμίμ Jos 18, 17. κλήρου Βενιαμίν. καὶ νῦν ἐστι κώμη Ἐδουμὰ ἐν τῇ Ἀκραβαττίνῃ, ὡς ἀπὸ δώδεκα σημείων πρὸς ἀνατολὰς Νέας πόλεως. 88 Ἑρμά Jos 19, 4. καὶ ταύτην εἷλεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. ἣ γέγονε κλήρου Συμεὼν καὶ Ἰούδα. Ἔθερ Jos 19, 7. κλήρου Συμεών. καὶ νῦν ἐστιν Ἰεθειρὰ μεγίστη κώμη ἐν τῷ ἐσωτέρῳ Δαρωμᾷ, παρακειμένη Μαλαάθοις. Ἐθθά Jos 19, 13. κλήρου Συμεών. Ἐλκάθ Jos 19, 25. κλήρου Ἀσήρ. πόλις Λευίταις ἀφωρισμένη. Εἰκώκ Jos 19, 34. κλήρου Νεφθαλείμ. συνάπτει «τῷ Ζαβουλὼν ἀπὸ νότου καὶ τῷ Ἀσὴρ» «κατὰ θάλασσαν» «καὶ τῷ Ἰούδᾳ ἐξ ἀνατολῶν». Ἐδραεί Jos 19, 37. κλήρου Νεφθαλείμ. Ἐλθεκώ Jos 19, 44. κλήρου Δάν, Λευίταις ἀφωρισμένη. Ἐσθαόλ Jos 19, 41. κλήρου Δάν, ἔνθεν ὡρμᾶτο Σαμψών. καὶ εἰς ἔτι νῦν ἐστιν ἀπὸ ι΄ σημείων Ἐλευθεροπόλεως, εἰς βορρᾶν ἀπιόντων εἰς Νικόπολιν. Ἐλβά Jos 19, 28. κλήρου Ἀσήρ. ταύτης οὐκ ἐξῆρεν τοὺς ἀλλοφύλους ὁ Ἀσήρ. Ἐρεμμών Jos 19, 7. κώμη Ἰουδαίων μεγίστη ἀπὸ ι΄ σημείων Ἐλευθεροπόλεως πρὸς νότον ἐν τῷ Δαρωμᾷ. Ἐμμαθδώρ Jos 21, 32. κλήρου Νεφθαλείμ, Λευίταις ἀφωρισμένη. Ἐμάθ Richt 3, 3. ὅριον τῶν ἀλλοφύλων ἐν χώρᾳ Δαμασκοῦ. Ἐνλεχί Richt 15, 16. 19. Ἀ΄ σιαγών. Ἐνιακεβζήβ Richt 7, 25. Σ΄ ἐν τῇ κοιλάδι τοῦ Ζήβ. Βασιλειῶν. Ἐργάβ I Sam 20, 19. ἔνθα Ἰωνάθαν «ἀκοντίζει τὰς σχίζας». Ἀ΄ τοὺς λίθους, Σ΄ τὸν λίθον. καὶ ἐν ἑτέρῳ Σ΄ τὴν περίμετρον. Ἐχελά I Sam 23, 19. ἔνθα ἐκρύπτετο Δαυίδ. Ἐνκηλὰ νῦν λέγεται, ἀπέχουσα Ἐλευθεροπόλεως σημείοις ζ΄. Ἀμβακοὺμ τοῦ προφήτου τὸ μνῆμα πλησίον δείκνυται. 90 Ἐλμωνί I Sam 21, 2. τόπος. τὶς ἑρμηνεύεται. Ἀ΄ Θ΄ τόνδε τινά. Ἐσθαμά I Sam 30, 26. 28. ἔνθα ἀπέστειλε Δαυίδ. Ἐλώθ II Kön 14, 22. ταύτην ᾠκοδόμησεν Ἀζαρίας βασιλεύς. Ἐμάθ II Kön 14, 25. ἐν Ἡσαΐᾳ. πόλις Δαμασκοῦ, ἣν ἐπολιόρκησε βασιλεὺς Ἀσσυρίων. μέμνηται αὐτῆς καὶ Ζαχαρίας. κεῖται καὶ ἐν τῷ Ἰεζεκιήλ. καὶ ἐν τῷ Ἀμὼς Ἐμὰς Ῥεββά, ὅ ἐστιν Ἐμὰθ μεγάλη. κεῖται καὶ ἀνωτέρω. καὶ μήποτε αὕτη ἐστὶν ἡ Ἐπιφάνεια ἡ πλησίον Ἐμέσης. Ἔσερ II Kön 15, 29. πόλις ἣν ᾠκοδόμησε Σολομών. Ἐναχεὶμ Micha 1, 10 ἢ Ἐνβαχείν. Μιχαίας. Ἀ΄ Σ΄ ἐν κλαυθμῷ. Ἐναραβά II Sam 2, 29?. Ἀ΄ ἐν ὁμαλῇ, Σ΄ ἐν πεδινῇ. Ἐλκεσέ Nahum 1, 1. ὅθεν ἦν Ναοὺμ ὁ Ἐλκεσαῖος. Ἐμακείμ Jer 49, 4. Ἀ΄ Σ΄ τῶν κοιλάδων. Ἀπὸ τῶν Εὐαγγελίων. Ἐμμαοῦς Luc 24, 13. ὅθεν ἦν Κλεώπας ὁ ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ. αὕτη ἐστὶν ἡ νῦν Νικόπολις τῆς Παλαιστίνης ἐπίσημος πόλις. Ἐφραΐμ Joh 11, 54. «ἐγγὺς τῆς ἐρήμου», ἔνθα ἦλθεν ὁ Χριστὸς «μετὰ τῶν μαθητῶν». κεῖται καὶ ἀνωτέρω Ἐφρών. 92 Στοιχεῖον Ζ. Ἀπὸ τῆς Γενέσεως. Ζαφωείμ Gen 36, 43. χώρα ἡγεμόνων Ἐδὼμ ἐν τῇ νῦν Γεβαληνῇ. Ἀριθμῶν καὶ Δευτερονομίου. Ζοόβ Num 21, 14. «διὰ τοῦτο λέγεται ἐν βίβλῳ· πόλεμος τοῦ κυρίου τὴν Ζοὸβ ἐφλόγισεν καὶ τοὺς χειμάρρους Ἀρνών». πόλις ἐν τῷ Ἀμορραίῳ, ἐν τῷ Ἀρνὼν κειμένη. Ζεφρονά Num 34, 9. ὅριον τῆς Ἰουδαίας βόρειον. Ζαρέδ Deut 2,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

13̣. φάραγξ Ζαρὲδ ἐν μέρει τῆς ἐρήμου. Ἀπὸ τοῦ Ἰησοῦ. Ζείφ̣ Jos 15, 24̣. φυλῆς Ἰούδα. Ζανάουα ̣Jos 15, 56̣. φυλῆς Ἰούδα. καὶ νῦν ἐν ὁρίοις ἐστὶν Ἐλευθεροπόλεως ἀπιόντων εἰς Αἰλίαν κώμη Ζανουὰ καλουμένη. Ζίφ̣ Jos 15, 55̣. κώμη νῦν ἐστιν ἐν τῷ Δαρωμᾷ ἐν ὁρίοις Ἐλευθεροπόλεως πλησίον Χεβρὼν ἀπὸ σημείων η´ πρὸς ἀνατολάς, ἔνθα ἐκρύπτετο Δαυίδ. Βασιλειῶν. Ζείφ̣ I Sam 23, 14̣. «ὄρος αὐχμῶδες» τῆς Ζείφ, ἐν ᾧ ἐκαθέσθη Δαυίδ, ᾧ παράκειται Χερμαλά, ἥτις ἑρμηνεύεται ὁ Κάρμηλος. οὕτως καλουμένη εἰς ἔτι νῦν κώμη Ἰουδαίων, ἔνθα Νάβαλ ὁ Καρμήλιος. Ζεὶφ δὲ ἐκαλεῖτο καὶ εἷς τῶν υἱῶν Χαλέβ, ὡς ἐν Παραλειπομέναις. 94 Ζογερά̣ Jer 48, 34̣. ἐν Ἱερεμίᾳ. πόλις Μωάβ. αὕτη νῦν καλεῖται Ζοορά, ἡ καὶ Σιγώρ, μία οὖσα τῆς πενταπόλεως Σοδόμων. Ζήβ̣ Jer 49, 4̣. ἐν Ἱερεμίᾳ. πόλις Ἀμμᾶν. καὶ ἔστι νῦν Ζία κώμη ὡς ἀπὸ ιε´ σημείων Φιλαδελφίας ἐπὶ δυσμάς. Ζωελέθ̣ I Kön 1, 9̣. λίθος οὕτω καλούμενος, ἐν ᾧ Ἀδωνίας θύει «ἐχόμενα τῆς πηγῆς Ῥωγήλ«. Στοιχεῖον Η. Ἀπὸ τῆς Γενέσεως. Ἠλάθ ̣Gen 36, 41̣. χώρα ἡγεμόνων Ἐδὼμ καὶ πόλις Ἡσαῦ, ἀπὸ ι´ σημείων Πέτρας πρὸς ἀνατολάς. Ἡρώων πόλις̣ Gen 46, 28f̣.. κατ' Αἴγυπτον, ἐφ' ἧς συνήντησεν Ἰωσὴφ τῷ πατρί. Ἡλιούπολις̣ Gen 41, 45̣. πρὸς τῇ Αἰγύπτῳ πόλις, ἣν τὸ Ἑβραϊκὸν ὀνομάζει Ὤν, ἧς λέγεται Πετεφρὴς ἱερεύς. κεῖται καὶ ἐν Ἰεζεκιήλ. Ἠθάμ̣ Ex 13, 20̣. σταθμὸς ἐπὶ τῆς ἐρήμου τῶν υἱῶν Ἰσραήλ, ἡ καὶ Βουθάν. Ἀπὸ τοῦ Ἰησοῦ. Ἠνγαννίμ̣ Jos 15, 34̣. φυλῆς Ἰούδα. καὶ νῦν ἐστι πλησίον Βαιθήλ. Ἠναΐμ̣ Jos 15, 34̣. φυλῆς Ἰούδα. καὶ νῦν ἐστι κώμη Βηθενὶμ περὶ τὴν τερέβινθον. Ἠνδώρ̣ Jos 17, 11̣. φυλῆς Μανασσῆ. ἔνθα ἦν ἡ ἐγγαστρίμυθος. καὶ ἀνωτέρω κεῖται Ἀενδώρ. ἔστι δὲ πλησίον Ναΐν, ἐν ᾗ ὁ Χριστὸς τὸν υἱὸν τῆς χήρας ἤγειρεν, ἀμφὶ τὴν Σκυθόπολιν. Ἠνγαννί ̣Jos 19, 21̣. κλήρου Ἰσσάχαρ. πόλις Λευίταις ἀφωρισμένη. καὶ ἄλλη δὲ λέγεται εἶναί τις Ἠνγαννὰ κώμη περὶ τὴν Γέρασαν τὴν ἐν τῇ Περαίᾳ. Ἠναδά̣ Jos 19, 21̣. κλήρου Ἰσσάχαρ. ἐστὶ δὲ κώμη νῦν ἑτέρα Ἡναδάβ, ἀπιόντων ἀπὸ Ἐλευθεροπόλεως εἰς Αἰλίαν, περὶ τὸ ι´ σημεῖον. 96 Ἠνασώρ̣ Jos 19, 37̣. κλήρου Νεφθαλείμ. κεῖται καὶ ἀνωτέρω Ἀσώρ. Ἡρακών̣ Jos 19, 46̣. ὅριον φυλῆς Δάν, πλησίον Ἰόππης. Ἀπὸ τῶν Κριτῶν. Ἡτάμ̣ Richt 15, 8̣. ἔνθα κατῴκει Σαμψὼν «ἐν τῷ σπηλαίῳ Ἡτὰμ» «παρὰ τῷ χειμάρρῳ». Βασιλειῶν. Ἡλά̣ I Sam 17, 2̣. κοιλὰς Ἡλά. Ἀ´ Θ´ κοιλὰς τῆς δρυός. Ἠνγαδδί̣ I Sam 24, 1̣. ἔρημος, ἔνθα ἐκρύπτετο Δαυίδ. καὶ ἀνωτέρω κεῖται Ἐνγαδδί φυλῆς Ἰούδα. παράκειται τῇ νεκρᾷ θαλάσσῃ εἰς δυσμάς. Ἠμάθ̣ II Sam 8, 9̣. χώρα ἀλλοφύλων, ὡς δὲ Ἱερεμίας, πόλις Δαμασκοῦ. Ἠνάν̣ Ez 47, 17. 19̣. «ὅριον Δαμασκοῦ», ὡς Ἰεζεκιήλ, «ἀπὸ Θαιμὰν καὶ Φοινικῶνος», ὡς δὲ οἱ Λοιποί, Θάμαρ. Στοιχεῖον Θ. Ἀπὸ τῆς Γενέσεως. Θαιμάν̣ Gen 36, 11̣. χώρα ἡγεμόνων Ἐδὼμ ἐν τῇ Γεβαλιτικῇ, ἀπὸ Θαιμὰν υἱοῦ Ἐλιφὰζ υἱοῦ Ἡσαῦ. ἀλλὰ καὶ εἰς ἔτι νῦν κώμη ἐστὶ Θαιμάν, ἀπέχουσα Πέτρων ἀμφὶ τὰ ιε´ σημεῖα, ἐν ᾗ καὶ ἐγκάθηται στρατιωτικόν. ἔνθεν ὡρμᾶτο Ἐλιφὰζ ὁ Θαιμανῶν βασιλεύς. καὶ τοῦ Ἰσμαὴλ δὲ Θαιμὰν λέγεται γεγονέναι παῖς. καὶ πᾶς δὲ ὁ πρὸς νότον τόπος οὕτω καλεῖται· καὶ γὰρ ἑρμηνεύεται Θαιμὰν νότος. Θαμνά̣ Gen 38, 12̣. ἔνθα ἔκειρεν Ἰούδας τὰ ἑαυτοῦ πρόβατα. διαμένει κώμη μεγάλη ἐν ὁρίοις Διοσπόλεως μεταξὺ ἀπιόντων εἰς Αἰλίαν. ἦν δὲ φυλῆς Δὰν ἢ Ἰούδα. Θαμνὰ ἄλλη̣ Gen 36, 40̣. πόλις ἡγεμόνων Ἐδώμ. ἦν δὲ καὶ «παλλακὴ Ἐλιφὰζ υἱοῦ Ἡσαῦ, ἥτις ἔτεκεν αὐτῷ τὸν Ἀμαλήκ», ὅθενοἱ Ἀμαληκῖται. 98 Ἀπὸ τοῦ Δευτερονομίου. Θόφολ̣ Deut 1, 1̣. τόπος τῆς ἐρήμου «πέραν τοῦ Ἰορδάνου», ἔνθα τὸ Δευτερονόμιον γράφει Μωυσῆς, κατantικρὺ Ἱεριχοῦς. Θαάθ̣ Num 33, 26f̣.. σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Θαρά̣ Num 33, 27f̣.. σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ἀπὸ τοῦ Ἰησοῦ. Θαφφοῦ ̣Jos 12, 17̣. πόλις ἣν ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών, ἣ γέγονε φυλῆς Ἰούδα. κεῖται καὶ ἀνωτέρω Βηθαφοῦ, ὅριον Παλαιστίνης καὶ Αἰγύπτου. Θανάκ̣ Jos 12, 21̣. πόλις ἣν ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών, ἣ γέγονε φυλῆς Μανασσῆ, Λευίταις ἀφωρισμένη. καὶ νῦν ἐστιν ἀπὸ δ´ σημείου τῆς Λεγεῶνος. Θηνάθ̣ Jos 16, 6̣. φυλῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰωσήφ. καὶ νῦν ἐστι κώμη Θηνὰ ἀπὸ σημείων ι΄ Νέας πόλεως ἐπ' ἀνατολάς, κατιόντων ἐπὶ τὸν Ἰορδάνην. Θαφφουέ̣ Jos 16, 8̣. φυλῆς Ἰωσήφ. Θαφφούθ̣ Jos 17, 8̣. φυλῆς Μανασσῆ. Θεκώ̣ Jos 15, 59ạ. καὶ νῦν Θεκωέ ἐστι παρὰ τὴν ἔρημον Αἰλίας πόλις τὸ πρὶν οὖσα φυγαδευτηρίου. ὅθεν ἦν Ἀμὼς ὁ προφήτης. Θερσά̣ Jos 12, 24̣. καὶ ταύτην εἷλεν Ἰησοῦς ἅμα τῷ βασιλεῖ αὐτῆς. Θεραμά̣ Jos 18, 27̣. φυλῆς Βενιαμίν. Θωλάδ̣ Jos 15, 30̣. φυλῆς Ἰούδα ἢ Συμεών. Θαβώρ̣ Jos 19, 22̣. ὅριον Ζαβουλών. ἔστι δὲ ὄρος ἐν τῇ πεδιάδι κείμενον ἀπὸ σημείων ι΄ Διοκαισαρείας κατὰ ἀνατολάς. τὸ δὲ αὐτὸ καὶ ὅριον ἦν φυλῆς Ἰσσάχαρ καὶ Νεφθαλείμ. Θαλχά̣ Jos 19, 7̣. φυλῆς Συμεών. νῦν Θαλὰ καλεῖται Ἰουδαίων μεγίστη κώμη, ὡς ἀπὸ σημείων ι΄ Ἐλευθεροπόλεως ἐν τῷ Δαρωμᾷ. 100 Θαμναθσαρά̣ Jos 19, 50̣. πόλις Ἰησοῦ τοῦ Ναυῆ «ἐν τῷ ὄρει» κειμένη. αὕτη ἐστὶ Θαμνά, ἡ καὶ ἀνωτέρω κειμένη, ἐν ᾗ εἰς ἔτι νῦν δείκνυται τὸ τοῦ Ἰησοῦ μνῆμα. φυλῆς Δάν. Θάλασσα ἡ ἁλυκή̣ Jos 18, 19̣. ἡ καλουμένη νεκρὰ καὶ ἀσφαλτῖτις, μεταξὺ Ἱεριχοῦς καὶ Ζωόρων. Ἀπὸ τῶν Κριτῶν. Θααναχ̣ Richt 1, 27̣. οὐχ εἷλεν ταύτην ἡ φυλὴ Μανασσῆ, ὅτι μὴ τοὺς ἀλλοφύλους μετέστησεν ἐξ αὐτῆς. ἐνταῦθα δὲ τὸν Σισαρὰ Δεβόρρα πολεμεῖ. ἦν δὲ καὶ αὕτη Λευίταις ἀφωρισμένη. καὶ νῦν ἐστι κώμη μεγίστη ἀπέχουσα τῆς Λεγεῶνος σημεῖα γ΄. Θήβης̣ Richt 9, 50̣. πόλις ἔνθα πολεμοῦντος Ἀβιμέλεχ ἀπὸ τοῦ πύργου «γυνὴ κλάσμα μύλου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἔρριψεν». ἔστιν ἐν ὁρίοις Νέας πόλεως Θήβης ἔτι νῦν λεγομένη κώμη, ὡς ἐπὶ Σκυθόπολιν ἀπιόντων ἐπὶ τὸ τρισκαιδέκατον σημεῖον. Θαμναθά̣ Richt 14, 1̣. κεῖται καὶ ἀνωτέρω Θαμνά. φυλῆς Δάν. Βασιλειῶν. Θηλαμοῦ γῆ̣ II Sam 3, 12̣. ἔνθα «ἀπέστειλεν Ἀβεννὴρ πρὸς Δαυίδ». Ἀ΄ παραχρῆμα, Σ΄ ἀνθ' ἑαυτοῦ. Θαάδ̣ II Sam 24, 6?̣. ἐγγὺς Γαλαάδ. Θαμσά̣ I Kön 4, 24̣. ὅριον τῆς βασιλείας Σολομών. Θερμώθ̣ I Kön 9, 18̣. πόλις ἣν ᾠκοδόμησε Σολομὼν «ἐν τῇ ἐρήμῳ». Θαρσεῖς̣ I Kön 10, 22̣. ὅθεν ἤρχετο τῷ Σολομῶντι χρυσός. κατὰ μὲν τὸν Ἰώσιππον Ταρσός ἐστιν ἡ τῆς Κιλικίας· κατὰ δὲ τὸν Ἰεζεκιὴλ Καρχηδών, ἀντὶ γὰρ τῆς παρὰ τοῖς Ο΄ κειμένης 102 Καρχηδόνος τὸ Ἑβραϊκὸν ἔχει Θαρσεῖς. ἄλλοι δὲ τὴν Ἰνδίαν ὑπετύπωσαν. Θαρσά̣ I Kön 15, 21̣. ὅθεν ἦν Ἀσὰφ βασιλεὺς Ἰσραήλ. Θερσιλά̣ II Kön 15, 14̣. ὅθεν ἦν Μαναείμ. καὶ νῦν ἐστι κώμη Σαμαρέων ἐν τῇ Βαταναίᾳ Θαρσιλὰ λεγομένη. Θεσβά̣ I Kön 17, 1̣. ὅθεν ἦν Ἡλίας ὁ Θεσβίτης. Θαιμάν̣ Ez 20, 45̣. ὡς Ἰεζεκιὴλ πόλις τῆς Ἰδουμαίας, ὡς δὲ Ἡσαΐας ἐν ὁράσει τῆς Ἀραβίας. κεῖται καὶ ἐν Ἱερεμίᾳ. ἐν δὲ τῷ Ἀβδιοῦ λέγεται πόλις Ἡσαῦ. Θαιμὰν δὲ καὶ εἷς τῶν υἱῶν Ἡσαῦ ἐκαλεῖτο. κεῖται καὶ ἀνωτέρω. Θαρθάκ̣ II Kön 17, 31̣. ταύτην ἔκτισαν ἐν τῇ Ἰουδαίᾳ οἱ Εὐαῖοι. Θαλασάρ̣ II Kön 19, 12̣. χώρα Συρίας. Θογαρμά̣ Ez 27, 14̣. ἐν τῷ Ἰεζεκιήλ. Θαφέθ̣ Jer 7, 32̣. βωμὸς τοῦ Θαφὲθ ἐν Ἱερεμίᾳ. ἐν προαστείοις Αἰλίας εἰς ἔτι νῦν δείκνυται ὁ τόπος οὕτω καλούμενος, ᾧ παράκειται ἡ κολυμβήθρα τοῦ κναφέως καὶ τὸ Ἀχελδαμὰχ χωρίον. Στοιχεῖον Ι. Ἀπὸ τῆς Γενέσεως. Ἰαβόκ̣ Gen 32, 23ff.. ποταμὸς χειμάρρου, ὃν διαβαίνων ὁ Ἰακὼβ ἐπάλαισεν μετὰ τοῦ φανέντος αὐτῷ, ὅτε καὶ μετωνομάσθη Ἰσραήλ. ῥεῖ δὲ μεταξὺ Ἀμμᾶν, τοῦτ' ἔστι Φιλαδελφίας, καὶ Γεράσης ἀπὸ δ΄ σημείων, καὶ κατερχόμενος συμμίγνυται τῷ Ἰορδάνῃ. Ἰδουμαία̣ Gen 36, 16̣. χώρα Ἡσαῦ, ἐξ αὐτοῦ παρωνύμως ὀνομασθεῖσα, ἐπείπερ αὐτὸς Ἐδὼμ ἐκαλεῖτο. ἔστι δὲ ἡ ἀμφὶ τὴν Πέτραν Γεβαληνὴ καλουμένη. 104 Ἰαθέρ̣ Gen 36, 40̣. χώρα ἡγεμόνων Ἐδὼμ ἐπὶ τῆς αὐτῆς Γεβαληνῆς. Ἀριθμῶν καὶ Δευτερονομίου. Ἰεταβαθά̣ Num 33, 33̣. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ἰαννά̣ Num 21, 20̣. «ἥ ἐστιν ἐν πεδίῳ Μωὰβ ἀπὸ κορυφῆς τοῦ λελαξευμένου, τὸ βλέπον κατὰ πρόσωπον τῆς ἐρήμου», παρὰ τὸν Ἀρνωνᾶν. Ἰεσσά̣ Num 21, 23̣. ἔνθα Σηὼν βασιλεὺς τῶν Ἀμορραίων πολεμεῖται. μέμνηται αὐτῆς καὶ Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». κεῖται καὶ ἐν τῷ Ἱερεμίᾳ. καὶ δείκνυται νῦν μεταξὺ Μηδαβῶν καὶ Δηβοῦς. Ἰαζήρ̣ Num 21, 32̣. πόλις τοῦ Ἀμορραίου ἀπὸ ι΄ σημείου Φιλαδελφίας πρὸς δυσμαῖς ἐν τῇ νῦν Περαίᾳ τῆς Παλαιστίνης ὑπὲρ τὸν Ἰορδάνην, ἣ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γέγονεν ὅριον φυλῆς Γάδ, παρατεῖνον «ἕως Ἀροήρ, ἥ ἐστι κατὰ πρόσωπον Ῥαββά». μέμνηται τῆς Ἰαζὴρ Ἡσαΐας ἐν ὁράσειτῇ «κατὰ τῆς Μωαβίτιδος», καὶ Ἱερεμίας. ἥτις ἦν Λευίταις ἀφωρισμένη. διέστηκε δὲ τῆς Ἐσσεβῶν σημείοις ιε΄, καὶ φέρεται ἐπ' αὐτῆς ποταμὸς μέγιστος ἐπὶ τὸν Ἰορδάνην ἐκπίπτων. Ἰορδάνης Num 22, 1. ποταμὸς διαιρῶν τὴν Ἰουδαίαν τῆς Ἀραβίας καὶ τὸν μέχρι νεκρᾶς θαλάσσης Αὐλῶνα, ὃς καὶ ἐκπίπτων διὰ Ἱεριχοῦς ἐπὶ τὴν νεκρὰν θάλασσαν εἰς αὐτὴν ἀφανίζεται. Ἰεταβαθά Deut 10, 7. «χειμάρροι ὑδάτων», τόπος ἐπὶ τῆς ἐρήμου. Ἱεριχώ Deut 32, 49. πόλις ἣν κατέσκαψεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. ἀνθ' ἧς ἑτέραν ἤγειρεν Ὀζὰν ἐκ Βαιθὴλ φυλῆς Ἐφραΐμ, ἣν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τῆς ἰδίας παρουσίας ἠξίωσεν. καταβληθείσης δὲ καὶ αὐτῆς ἐπὶ τῆς πολιορκίας τῆς Ἱερουσαλὴμ διὰ τὴν τῶν ἐνοικούντων ἀπιστίαν, ἑτέρα ἐκ τρίτου συνέστη εἰς ἔτι νῦν δεικνυμένη πόλις. καὶ τῶν δύο δὲ τῶν προτέρων εἰς ἔτι νῦν τὰ ἴχνη σῴζεται. 106 Ἀπὸ τοῦ Ἰησοῦ. Ἱερουσαλήμ Jos 10, 1. ταύτης ἐβασίλευσεν Ἀδωνιβεζέκ, καὶ μετὰ ταῦτα Ἰεβουσαῖοι, ἀφ' ὧν καὶ Ἰεβοὺς ἐκαλεῖτο, οὓς ἐκβαλὼν Δαυὶδ μητρόπολιν αὐτὴν ἀποφαίνει τῆς Ἰουδαίας, διὰ τὸ ἐν αὐτῇ συστὰν ἱερὸν * * * * * * ἐν Γενέσει Σαλήμ, ἧς ἐβασίλευσεν Μελχισεδέκ. γέγονε δὲ κλήρου φυλῆς Βενιαμίν. Ἰεβούς Jos 18, 28. «αὕτη ἐστὶν Ἱερουσαλήμ». Ἰαρεῖμ Jos 9, 17. πόλις Γαβαωνιτῶν. Ἰεριμούθ Jos 12, 11. πόλις ἣν εἷλεν Ἰησοῦς. φυλῆς Ἰούδα, ὡς ἀπὸ σημείων δ΄ Ἐλευθεροπόλεως περὶ τὴν Ἐσθαὸλ κώμην. Ἰσιμώθ Jos 12, 3. ἔνθα ἐκρύπτετο Δαυίδ. κεῖται καὶ ἀνωτέρω Βηθσιμοὺθ καθ' ἃ δεδήλωται. ἐν δὲ τῇ πρώτῃ τῶν Βασιλειῶν ἀντὶ «τοῦ Ἰεσσεμοῦν» ὁ μὲν Ἀ΄ τῆς ἠφανισμένης, ὁ δὲ Σ΄ τῆς ἐρήμου Ἐδὼμἐκδεδώκασιν. Ἰεδνά Jos 15, 23?. ἀπὸ ΄ σημείων Ἐλευθεροπόλεως ἀπιόντων ἐπὶ Χεβρών. Ἰεκκομάμ Jos 12, 22. τοῦ Καρμήλου πόλις ἣν εἷλεν Ἰησοῦς τὸν βασιλέα αὐτῆς ἀνελών. Ἰαείρ Jos 13, 30. πόλις φυλῆς Μανασσῆ. Ἰαμνεία Jos 15, 11. πόλις Ἰούδα. εἰς ἔτι νῦν πολίχνη Παλαιστίνης Ἰαμνεία μεταξὺ Διοσπόλεως καὶ Ἀζώτου. Ἰαβείρ Jos 15, 15. πόλις γραμμάτων. φυλῆς Ἰούδα. Ἰαγούρ Jos 15, 21. φυλῆς Ἰούδα. Ἰερμοῦς Jos 15, 35. φυλῆς Ἰούδα. κώμη νῦν ἐστὶν Ἱερμοχὼς ἀπὸ σημείων ι΄ Ἐλευθεροπόλεως ἀνιόντων εἰς Αἰλίαν. Ἰεχθαήλ Jos 15, 38. φυλῆς Ἰούδα. Ἰεφθάν Jos 15, 43. φυλῆς Ἰούδα. 108 Ἰεθέρ Jos 15, 48. φυλῆς Ἰούδα, πόλις ἱερατική. καὶ ἔστι νῦν κώμη μεγίστη Ἰεθειρὰ ὡς ἀπὸ σημείων κ΄ Ἐλευθεροπόλεως, ὅλη Χριστιανῶν, ἐν τῷ ἔσω Δαρωμᾷ πλησίον Μαλαθῶν. κεῖται καὶ ἀνωτέρω. Ἰανούν Jos 15, 53. φυλῆς Ἰούδα. κώμη νῦν ἐστιν Ἰανουὰ τῆς Λεγεῶνος ἀπὸ σημείων τριῶν κατὰ νότον. ἀλλ' ἔοικεν οὐκ εἶναι ἡ δηλουμένη. Ἰεττάν Jos 15, 55. φυλῆς Ἰούδα, πόλις ἱερατική. ἔστι νῦν κώμη μεγίστη Ἰουδαίων, Ἐλευθεροπόλεως ἀπὸ σημείων ιη΄ πρὸς νότον ἐν τῷ Δαρωμᾷ. Ἰεζραέλ Jos 15, 56. φυλῆς Ἰούδα. Ἰεζραέλ Jos 17, 16. φυλῆς Μανασσῆ, ἄλλη. ἔστιν εἰς ἔτι νῦν ἐπισημοτάτη Ἐσδραηλὰ κώμη ἐν τῷ μεγάλῳ πεδίῳ κειμένη μεταξὺ Σκυθοπόλεως καὶ τῆς Λεγεῶνος. ἦν δὲ καὶ ὅριον Ἰσσάχαρ. ἐκαλεῖτο δὲ Ἰεζραὲλ καὶ εἷς τῶν ἀπογόνων Ἐφραθά, ὡς ἐν Παραλειπομέναις. Ἰεκδαάν Jos 15, 56. φυλῆς Ἰούδα. Ἰεφλιθί Jos 16, 3. φυλῆς Ἰωσήφ. Ἰανώ Jos 16, 6. φυλῆς Ἐφραΐμ. καὶ ταύτην εἷλεν ὁ βασιλεὺς Ἀσσυρίων. καὶ ἔστι νῦν κώμη Ἰανὼ ἐν τῇ Ἀκραβαττινῇ, ἀπὸ ιβ΄ σημείων Νέας πόλεως πρὸς ἀνατολάς. Ἰαμείν Jos 17, 7. Ἀ΄ Σ΄ δεξιά. Ἰασήβ Jos 17, 16. Ἀ΄ Σ΄ τοὺς κατοικοῦντας. Ἰεβλαάμ Jos 17, 11. φυλῆς Μανασσῆ, ἀφ' ἧς οὐκ ἐξῆρε τοὺς ἀλλοφύλους. Ἰερφήλ Jos 18, 27. φυλῆς Βενιαμίν. Ἰεκνάλ Jos 19, 11. κλήρου Ζαβουλών, πόλις Λευίταις ἀφωρισμένη. Ἰάφεθ Jos 19, 12. κλήρου Ζαβουλών ἀνάβασις, καλεῖται καὶ Ἰόππη. καὶ ἡ Συκάμινος δὲ ἀπιόντων εἰς Πτολεμαΐδα ἀπὸ Καισαρείας κώμη πάραλος πλησίον τοῦ Καρμήλου Ἡφὰ λέγεται. 110 Ἰεφθαήλ Jos 19, 14. κλήρου Ζαβουλών. Ἰαδηλά Jos 19, 15. κλήρου Ζαβουλών. Ἰερμώθ Jos 19, 21. κλήρου Ἰσσάχαρ, πόλις ἱερεῦσιν ἀφωρισμένη. καὶ ἀνωτέρω κεῖται Ἱερμούθ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέμνηται αὐτῆς καὶ Ὡσηέ. Ἰαμνήλ Jos 19, 33. κλήρου Νεφθαλείμ. Ἰερών Jos 19, 38. κλήρου Νεφθαλείμ. Ἰεθλάν Jos 19, 42. κλήρου Δάν. Ἰηλών Jos 19, 43. κλήρου Δάν. Ἰούδ Jos 19, 45. κλήρου Δάν. Ἱερακώ Jos 19, 46. ὕδατα κλήρου Δάν. Ἰαβεῖς Γαλαάδ Richt 21, 8. καὶ ταύτην ἐπολέμησαν οἱ υἱοὶ Ἰσραήλ. καὶ νῦν ἔστι κώμη πέραν τοῦ Ἰορδάνου ἀπὸ ´ σημείων Πέλλης πόλεως ἐπὶ τοῦ ὄρους κειμένη ἀπιόντων εἰς Γέρασαν. Βασιλειῶν. Ἰαάρ I Sam 14, 25. δρυμός, ἔνθα ἦν ὁ μελισσών. Ἱεραμηλεί I Sam 30, 29. χώρα τῶν ἀλλοφύλων. Ἰέθερ I Sam 30, 26f.. ἔνθα ἀπέστειλεν Δαυίδ. κώμη νῦν ἐστιν Ἰεθειρὰ ἐν τῷ Δαρωμᾷ. κεῖται καὶ ἀνωτέρω. Ἰεκμαάν I Kön 4, 12. πόλις ἀρχόντων Σολομών. Ἰταβύριον Hos 5, 1. Ἀ´ Σ´ Θαβώρ. ἐν Ὡσηέ. κεῖται δὲ ἐν τῷ μεγάλῳ πεδίῳ τῆς Λεγεῶνος πρὸς ἀνατολάς. Ἰεκθοήλ II Kön 14, 7. Πέτρα ἐν Βασιλείαις. Ἰεταβά II Kön 21, 19. πόλις ἀρχαία τῆς Ἰουδαίας. Ἰόππη Jona 1, 3. πόλις Παλαιστίνης εἰς ἔτι νῦν πάραλος. κλήρου Δάν. Ἀπὸ τῶν Εὐαγγελίων. Ἰτουραία Luc 3, 1 ἡ καὶ Τραχωνῖτις χώρα, ἧς ἐτετράρχει Φίλιππος, ὡς ἐν Εὐαγγελίοις. Τραχωνῖτις δὲ καλεῖται ἡ παρακειμένη χώρα τῇ ἐρήμῳ τῇ κατὰ Βόστραν τῆς Ἀραβίας. 112 Στοιχεῖον Κ. Ἀπὸ τῆς Γενέσεως. Καρναείμ Gen 14, 5. Ἀσταρὼθ Καρναείμ. ἔστι νῦν κώμη μεγίστη τῆς Ἀραβίας, ἥτις ἐστὶν ἡ Καρναία λεγομένη, ἐπέκεινα τοῦ Ἰορδάνου. ἔνθα ὡς ἐκ παραδόσεως τοῦ Ἰὼβ τὸν οἶκον ἐπιδεικνύουσιν. ἔστι δὲ καὶ ἄλλη ἐν ὁρίοις Αἰλίας Καρναία λεγομένη κώμη. Κάδης Gen 14, 7. ἔνθα ἡ πηγὴ «τῆς κρίσεως». Κάδης Βαρνῆ Num 32, 8. ἔρημος ἡ παρατείνουσα Πέτρᾳ πόλει τῆς Ἀραβίας, ἔνθα ἀναβᾶσα ἐτελεύτησεν Μαριάμ, καὶ Μωϋσῆς διστάσας παίει τὴν πέτραν καὶ ὕδωρ παρέχει διψῶντι τῷ λαῷ. καὶ δείκνυται εἰς ἔτι νῦν τὸ μνῆμα τῆς Μαρίας αὐτόθι. ἔνθα καὶ «τοὺς ἄρχοντας Ἀμαλὴκ» κατέκοψε Χοδολλαγόμωρ. Κενάζ Gen 36, 11. χώρα ἡγεμόνων Ἐδώμ. Καριαθαείμ Num 32, 37. πόλις ἣν ᾠκοδόμησαν «οἱ υἱοὶ Ῥουβίν.» καὶ νῦν ἐστιν ὅλη Χριστιανῶν κώμη, παρὰ Μηδαβὰν πόλιν τῆς Ἀραβίας, λεγομένη Καραιάθα, ἀπὸ ι´ σημείων τῆς Μηδαβῶν πρὸς δυσμὰς ἐπὶ τὸν Βάρην. Καριαθαρβώ Gen 23, 2. «αὕτη ἐστὶ Χεβρών». κεῖται καὶ ἀνωτέρω. Κανάθ Num 32, 42. κώμη τῆς Ἀραβίας εἰς ἔτι νῦν Καναθὰ καλουμένη, ἣν ἑλὼν ὁ Ναβαῦ ὠνόμασεν Ναβώθ, καὶ γέγονε φυλῆς Μανασσῆ. κεῖται δὲ εἰς ἔτι καὶ νῦν ἐν τῷ Τραχῶνι πλησίον Βόστρων. 114 Κατὰ τὰ Χρυσέα Deut 1, 1. ὄρη ἐστὶ χρυσοῦ ψηγμάτων ἔμπλεα ἐπὶ τῆς ἐρήμου, ια´ ἡμερῶν ὁδὸν ἀπέχοντα τοῦ ὄρους Χωρήβ, παρ' οἷς Μωϋσῆς τὸ Δευτερονόμιον γράφει. λέγεται δὲ ἐν Φαινὼν χαλκοῦ μετάλλοις τὸ παλαιὸν παρακεῖσθαι ὄρη χρυσοῦ μετάλλων. Καδημώθ Deut 2, 26. ἔρημος ἐξ ἧς πρέσβεις ἀπέστειλε Μωϋσῆς «πρὸς Σηών». Καριάθ Jos 9, 23. πόλις ὑπὸ μητρόπολιν Γαβαών. Κάδες Jos 12, 22. πόλις ἣν εἷλεν Ἰησοῦς τὸν βασιλέα αὐτῆς ἀνελών. ἣ γέγονε φυλῆς Ἰούδα. Καδημώθ Jos 13, 18. πόλις τῶν υἱῶν Ῥουβίν. Κεδσών Jos 21, 37. φυλῆς Ῥουβίν, Λευίταις ἀφωρισμένη. Ἀπὸ τοῦ Ἰησοῦ. Καψεήλ Jos 15, 21. φυλῆς Ἰούδα. Κινά Jos 15, 22. φυλῆς Ἰούδα. Κεειλά Jos 15, 44. φυλῆς Ἰούδα. ἔνθα ἐκαθέσθη Δαυίδ. καὶ εἰς ἔτι νῦν κώμη Κηλὰ πρὸς ἀνατολὰς Ἐλευθεροπόλεως ἀπιόντων εἰς Χεβρών, ὡς ἀπὸ σημείων η´· καὶ τὸ μνῆμα Ἀμβακοὺμ τοῦ προφήτου αὐτόθι δείκνυται. Καριαθβαάλ Jos 15, 60. αὕτη πόλις Ἰαρεὶμ φυλῆς Ἰούδα. Κανά Jos 16, 8. φυλῆς Ἐφραΐμ. Καβσαείμ Jos 21, 22. φυλῆς Ἐφραΐμ. Κανέ Jos 17, 9. φυλῆς Μανασσῆ. Καριαθιαρεὶμ Jos 18, 14 ἡ καὶ Καριαθβαάλ ἡ καὶ πόλις Ἰαρείμ. μία τῶν Γαβαωνιτῶν, φυλῆς Ἰούδα, μεταξὺ Αἰλίας καὶ Διοσπόλεως. ἐπὶ τῆς ὁδοῦ κειμένη ἀπὸ σημείων θ´ Αἰλίας. ἐντεῦθεν ἦν Οὐρίας ὁ προφήτης, ὃν ἀνεῖλεν Ἰωακεὶμ ἐν Ἱερουσαλήμ, ὡς ἐν Ἱερεμίᾳ. ἐκαλεῖτο δὲ Καριαθιαρεὶμ καὶ ὁ υἱὸς τοῦ Σωβάλ, ὡς ἐν Παραλειπομέναις. Κισών Jos 19, 20. κλήρου Ἰσσάχαρ, πόλις Λευίταις ἀφωρισμένη. 116 Καρθά Jos 21, 34. πόλις Ζαβουλών, Λευίταις ἀφωρισμένη. Καττά Jos 19, 15. κλήρου Ζαβουλών, πόλις Λευίταις ἀφωρισμένη. Κανά Jos 19, 28. ἕως Σιδῶνος τῆς μεγάλης, κλήρου Ἀσήρ. ἐν ταύτῃ ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς τὸ ὕδωρ εἰς οἴνου φύσιν μετέβαλεν. ἐντεῦθεν δὲ ἦν καὶ Ναθαναὴλ καὶ ἔστιν ἐν τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν. Κάδες Jos 19, 37. κλήρου Νεφθαλεὶμ πόλις ἱερατική, τὸ πρὶν οὖσα φυγαδευτήριον «ἐν τῇ Γαλιλαίᾳ ἐν τῷ ὄρει Νεφθαλείμ». καὶ ταύτην εἷλεν ὁ «βασιλεὺς Ἀσσυρίων». αὕτη ἐστὶν Κυδισσός, ἀπέχουσα Τύρου σημείοις κ΄, παρακειμένη Πανεάδι. Καρθάμ Jos 21, 32. πόλις φυλῆς Νεφθαλείμ, Λευίταις ἀφωρισμένη. Ἀπὸ τῶν Κριτῶν. Κέτρων Richt 1, 30. «οὐκ ἐξῆρεν» ἀπὸ ταύτης τοὺς ἀλλοφύλους Ζαβουλών. Καρκᾶ Richt 8, 10. ἔνθα «Ζεβεὲ καὶ Σαλμανᾶ», οὓς ἀνεῖλε Γεδεών. καὶ ἔστι νῦν Καρκαρία φρούριον ἀπέχον Πέτρας πόλεως μόνην ἡμέραν. Καμών Richt 10, 5. πόλις Ἰαείρ, ἔνθα ἐτάφη κρίνας τὸν Ἰσραήλ. καὶ ἔστι νῦν Καμμωνὰ κώμη ἐν τῷ μεγάλῳ πεδίῳ, ἀπέχουσα Λεγεῶνος σημείοις ΄ ἐν βορείοις ἀπιόντων εἰς Πτολεμαΐδα. Κισών Richt 4, 7. χειμάρρους πλησίον τοῦ ὄρους Θαβώρ, ἔνθα ἐπολεμήθη Σισαρά. Καδημίμ Richt 5, 21. χειμάρρους, ἔνθα ἐπολέμησεν Δεβόρρα. Κοιλάς Richt 1, 19. Τιτάνων, οἷς ἐπολέμησε Δαυίδ. 118 Κλαυθμών Richt 2, 1. χώρα ὀλοφυρμῶν, τόπος οὕτω καλούμενος. Βασιλειῶν. Κηνί I Sam 27, 10. χώρα ἀλλοφύλων. Κάρμηλος I Sam 25, 2. ἔνθα ἦν Νάβαλ. κώμη ἐστὶν εἰς ἔτι νῦν Χερμαλὰ ὀνομαζομένη, ἥτις ἑρμηνεύεται Κάρμηλος, ἀπὸ δεκάτου σημείου Χεβρὼν πρὸς ἀνατολάς, ἔνθα φρούριον ἐγκάθηται. Κάρμηλος I Kön 18, 42. ὄρος ἐπὶ τὸ Φοινίκιον πέλαγος καὶ διαιροῦν Παλαιστίνην Φοινίκης. ἔνθα ἐκαθέζετο Ἡλίας. Καβσεήλ II Sam 23, 20. ὅθεν ἦν Βαναΐας υἱὸς Ἰωδάε. Κεδρών II Sam 15, 23. χειμάρρους ἢ φάραγξ Κεδρών. παράκειται τῇ Ἱερουσαλήμ. Κυρίνη II Kön 16, 9. ἔνθα ἀπῴκισε βασιλεὺς Ἀσσυρίων τὴν Δαμασκόν. Κωά I Kön 10, 28. πλησίον Αἰγύπτου. Καρχηδών Jes 23, 1. Ἡσαΐας ἐν ὁράσει Τύρου, καὶ Ἰεζεκιήλ, παρ' ᾧ Θαρσεῖς ἐν τῷ Ἑβραϊκῷ κεῖται. Κοιλὰς Ἰωσαφάτ. Joel 3, 2. μεταξὺ κεῖται Ἱερουσαλὴμ καὶ τοῦ ὄρους τῶν ἐλαιῶν. Κεδέμ Ez 25, 4. ἐν Ἰεζεκιήλ. Ἀ΄ Σ΄ ἀνατολῶν. Κηδάρ Ez 27, 21. ἐν Ἰεζεκιὴλ «ἄρχοντες Κηδάρ», καὶ ἐν Ἱερεμίᾳ καὶ ἐν Ἡσαΐᾳ ἐν ὁράσει τῆς Ἀραβίας. ἔστι δὲ χώρα Σαρακηνῶν. ἦν δὲ Κηδὰρ υἱὸς Ἰσμαὴλ υἱοῦ Ἀβραάμ. 120 Καριώθ Jer 48, 24. 41. ἐν χώρᾳ Μωάβ, ὡς Ἱερεμίας. Καφαρναούμ Matth 4, 13. παρὰ τὴν Γεννησαρῖτιν λίμνην. εἰς ἔτι νῦν ἐστι κώμη ἐν τῇ Γαλιλαίᾳ τῶν ἐθνῶν «ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ». Στοιχεῖον Λ. Ἀπὸ τῆς Γενέσεως. Λασάν Gen 10, 19. ὅριον τῶν Χαναναίων περὶ τὴν Σοδομῖτιν. Λουζά Gen 28, 19. ταύτην ἐπωνόμασεν Ἰακὼβ Βαιθήλ. οἰκεῖται δὲ εἰς ἔτι νῦν, κώμη οὖσα ἐπ' ἀριστερὰ τῆς ὁδοῦ τῆς ἀγούσης ἐπ' Αἰλίαν ἀπὸ Νέας πόλεως. ἣ γέγονε φυλῆς Βενιαμίν. Λουζὰ ἑτέρα Richt 1, 26. ἣ γέγονε τῶν υἱῶν Ἰωσήφ, παρακειμένη Συχὲμ ἀπὸ θ΄ σημείου Νέας πόλεως. Λωτάν Gen 36, 20. πόλις ἡγεμόνων Ἐδώμ. Ἀριθμῶν καὶ Δευτερονομίου. Λεβωνά Num 33, 20. ἐν τῇ ἐρήμῳ σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Λοβόν Deut 1, 1. τόπος τῆς ἐρήμου «πέραν τοῦ Ἰορδάνου», ἔνθα Μωϋσῆς ἀναγινώσκει τὸ Δευτερονόμιον. Ἀπὸ τοῦ Ἰησοῦ. Λάχεις Jos 10, 3. καὶ ταύτην εἷλεν Ἰησοῦς τὸν βασιλέα αὐτῆς ἀνελών. μέμνηται αὐτῆς καὶ Ἡσαΐας. καὶ ἔστιν εἰς ἔτι νῦν κώμη Ἐλευθεροπόλεως ἀπέχουσα σημείοις ζ΄ πρὸς νότον ἀπιόντων εἰς τὸν Δαρωμᾶν. κεῖται καὶ ἐν Ἱερεμίᾳ. φυλῆς Ἰούδα. Λεβνά Jos 10, 29. καὶ ταύτην εἷλεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. ἣ γέγονε φυλῆς Ἰούδα, πόλις ἱερατική. καὶ νῦν ἐστι κώμη ἐν τῇ Ἐλευθεροπολιτάνῃ λεγομένη Λοβανά. κεῖται καὶ ἐν Ἡσαΐᾳ. 122 Λασερών Jos 12, 18. καὶ ταύτην εἷλεν Ἰησοῦς, τὸν βασιλέα 122 αὐτῆς ἀνελών. Λίθος Βοέν Jos 15, 6. ἐν υἱοῖς Ῥουβὶν ὅριον φυλῆς Ἰούδα. Λαβώθ Jos 15, 32. φυλῆς Ἰούδα. Λαμάς Jos 15, 40. φυλῆς Ἰούδα. Λαβώθ Jos 19, 6. κλήρου Συμεών. Λαβανάθ Jos 19, 26. κλήρου Ἀσήρ. Λακούμ Jos 19, 33. ὅριον Νεφθαλείμ. Ἀπὸ τῶν Κριτῶν. Λαβωεμάθ Richt 3, 3. Ἀ΄ εἰσόδου Ἐμάθ. Λεσέμ Jos 19, 47. ταύτην «οἱ υἱοὶ Δὰν» πολιορκήσαντες ἐκάλεσαν Δάν. Λουζά Richt 1, 26. ἑτέρα αὕτη παρὰ τὴν Βαιθήλ, κειμένη ἐν γῇ Χεττιείμ. ἣν ἔκτισεν ὁ διασωθεὶς ἀπὸ Βαιθήλ,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὡς ἐν Κριταῖς ἱστορεῖται. Λέχει Richt 15, 19. ἐν Λέχει, Α´ Σ´ ἐν σιαγόνι. Λαῖσα Richt 18, 27ff.. ταύτην ἑλόντες υἱοὶ Δὰν ᾤκησαν, ἄποθεν οὖσαν Σιδῶνος, καὶ ἐπεκάλεσαν αὐτὴν Δάν. ἣ γέγονεν ὅριον τῆς Ἰουδαίας βόρειον ἀπὸ Δὰν ἕως Βηρσαβέε διηκούσης. μέμνηται αὐτῆς καὶ Ἡσαΐας. κεῖται καὶ ἀνωτέρω, πλησίον Πανεάδος. ἐξ ἧς καὶ ὁ Ἰορδάνης πρόεισι. Βασιλειῶν. Λεματτάρα I Sam 20, 20. ἔνθα Ἰωναθὰν ἠκόντιζε «τὰς σχίζας». Ἀ´ εἰς σκοπόν, Σ´ εἰς τὸν συντεταγμένον. Λαδαβάρ II Sam 9, 4. ἔνθα Μεμφιβοσθέ. Λωδαβάρ II Sam 17, 27. ὅθεν ἦν Μαχείρ. Λίβανος I Kön 4, 29. ὄρος Φοινίκης ἐπιφανές. Λουείθ Jes 15, 5. ταύτης μέμνηται Ἡσαΐας. καὶ ἔστι μεταξὺ Ἀρεοπόλεως καὶ Ζοορῶν κώμη νῦν καλουμένη Λουειθά. 124 Στοιχεῖον Μ. Ἀπὸ τῆς Γενέσεως. Μανασσῆ Gen 10, 30. χώρα τῆς Ἰνδικῆς, ἣν κατῴκησαν οἱ υἱοὶ Ἰεκτὰν υἱοῦ Ἐβέρ. Μαμβρῆ Gen 13, 18. αὕτη ἐστὶ Χεβρών, ᾗ παράκειται τάφος τῶν ἀμφὶ τὸν Ἁβραάμ. κεῖται καὶ ἀνωτέρω. Μαμβρῆ δὲ καὶ εἷς τῶν ἑταίρων τοῦ Ἁβραὰμ ἐκαλεῖτο. Μαδιάμ Gen 25, 2. πόλις ἀπὸ ἑνὸς τῶν υἱῶν Ἁβραὰμ καὶ Χεττούρας Μαδιὰμ ἐπικληθεῖσα. κεῖται δὲ ἐπέκεινα τῆς Ἀραβίας πρὸς νότον ἐν ἐρήμῳ τῶν Σαρακηνῶν, τῆς ἐρυθρᾶς θαλάσσης ἐπ' ἀνατολάς. ὅθεν καλοῦνται Μαδιαναῖοι καὶ ἡ νῦν καλουμένη Μαδιανή. καλεῖ δὲ καὶ ἡ γραφὴ τὰς θυγατέρας Ἰωβὰβ θυγατέρας Μαδιάμ. ἑτέρα δέ ἐστιν πόλις ὁμώνυμος αὐτῇ πλησίον τοῦ Ἀρνωνᾶ καὶ Ἀρεοπόλεως, ἥτις νῦν ἔρημος οὖσα δείκνυται. Μωάβ Gen 36, 35. ἀπὸ Μωὰβ υἱοῦ Λώτ, πόλις τῆς Ἀραβίας ἡ νῦν Ἀρεόπολις. κεῖται καὶ ἀνωτέρω. καλεῖται δὲ Μωὰβ καὶ ἡ χώρα, ἡ δὲ πόλις Ῥαββὰθ Μωάβ. Μασρηκά Gen 36, 36. πόλις βασιλείας Ἐδὼμ περὶ τὴν Γεβαληνήν. Μάβσαρ Gen 36, 42. εἰς ἔτι καὶ νῦν καὶ αὕτη κώμη μένει μεγίστη Μαβσαρὰ ἐπὶ τῆς Γεβαληνῆς, ὑπακούουσα τῇ Πέτρᾳ. Μαγεδιήλ Gen 36, 43. καὶ αὕτη τῶν ἡγεμόνων Ἐδὼμ ἐν τῇ Γεβαληνῇ. Ἀπὸ τῆς Ἐξόδου. Μάγδωλος Ex 14, 2. τῆς ἐξ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ σταθμός, ἔνθα κατήντησαν πρὸ τῆς ἐρυθρᾶς θαλάσσης. κεῖται καὶ 126 ἐν Ἰεζεκιήλ· «ἀπὸ Μαγδώλου ἕως Σοηνῆς». ὡς δὲ Ἱερεμίας, ἐνταῦθα τῆς Αἰγύπτου κατῴκησαν οἱ μετὰ Ἱερεμίου Ἰουδαῖοι. Μερρά Ex 15, 23ff.. πικρία. τόπος τῆς ἐρήμου, ἔνθα πικρὸν ὑπάρχον τὸ ὕδωρ ῥίψας ξύλον Μωϋσῆς μετέβαλεν εἰς γλυκύ. Ἀριθμῶν καὶ Δευτερονομίου. Μνήματα ἐπιθυμίας Num 11, 34. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου, ἔνθα διεφθάρησαν ἀπὸ τῆς κρεωφαγίας. Μακηλώθ Num 33, 25. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Μαθεκκά Num 33, 28. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Μασουρούθ Num 33, 30. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Μαθθανέμ Num 21, 18. αὕτη νῦν λέγεται Μασχανά. κεῖται δὲ ἐπὶ τοῦ Ἀρνωνᾶ ἀπὸ σημείων ιβ´ πρὸς ἀνατολὰς Μηδαβῶν. Μισώρ Dent 3, 10. πόλις Ὢγ βασιλέως Βασάν. Μαχαναράθ Deut 3, 17. ὅριον Ἀμμᾶν τῆς καὶ Φιλαδελφίας. Μαδβαρίς Deut 4, 43. ἔρημος οὕτω καλεῖται παρ' Ἑβραίοις. Μισαδαΐ «υἱῶν Ἰακείμ» Deut 10, 6. τόπος ἐπὶ τῆς ἐρήμου, ἔνθα ἐτελεύτησεν Ἀαρών. Ἀπὸ τοῦ Ἰησοῦ. Μακηδά Jos 10, 10. ἐν ταύτῃ συνέκλεισεν Ἰησοῦς τοὺς ε´ βασιλεῖς εἰς τὸ σπήλαιον, οὓς καὶ ἀνεῖλεν μετὰ τοῦ βασιλέως τῆς Μακηδά. ἣ γέγονε φυλῆς Ἰούδα. καὶ νῦν ἔστι πρὸς ἀνατολὰς Ἐλευθεροπόλεως ἀπὸ σημείων η´. Μαδών Jos 11, 1. πόλις, ἧς ἐβασίλευσεν Ἰωβάβ, ὃν ἐπολέμησεν Ἰησοῦς. 128 Μασσηφά Jos 11, 3. φυλῆς Ἰούδα, ἔνθα κατῴκει Ἰεφθαέ, πλησίον τῆς Καριαθιαρείμ, ἐν ᾗ καὶ ἡ κιβωτός ποτε κατέμεινεν, ἔνθα καὶ Σαμουὴλ ἐδίκαζεν. κεῖται καὶ ἐν Ἱερεμίᾳ. Μερράν Jos 11, 7. ἔστι τὸ ὕδωρ, ἔνθα παρενέβαλον εἰς πόλεμον. ἔστι νῦν κώμη Μερροῦς, Σεβαστῆς ἀπέχουσα σημείοις ιβ´ πλησίον Δωθαείμ. Μαστραιφὼθ μαΐμ Jos 11, 8. Ἀ´ Μαστραιφὼθ ὕδατος, Σ´ Μαστραιφὼθ θαλάσσης. Μαχαθί Jos 12, 5. πόλις περὶ τὸν Ἰορδάνην τῶν Ἀμορραίων, πλησίον ὄρους Ἀερμών. ἀφ' ἧς οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν Μαχαθί. Μαρώμ Jos 12, 20. καὶ ταύτην εἷλεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. κεῖται καὶ ἀνωτέρω Μαροῦς. Μαγγεδδώ Jos 12, 21. καὶ ταύτην εἷλεν Ἰησοῦς,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

τὸν βασιλέα αὐτῆς ἀνελών. ἣ γέγονε φυλῆς Μανασσῆ, ἣν οὐ κατέσχεν, ὅτι μὴ ἐξῆρεν ἀπ' αὐτῆς τὸν ἀλλόφυλον. Μισώρ Jos 13, 9. 16. Ἀ΄ Σ΄ τὴν ὁμαλήν. πόλις φυλῆς Ῥουβίν, Λευίταις ἀφωρισμένη, ἐν τῇ Γεβαληνῇ. Μεδδαβά Jos 13, 9. πόλις καὶ μέχρι νῦν ἐστι τῆς Ἀραβίας Μηδαβὰ εἰς ἔτι νῦν καλουμένη πλησίον Ἐσσεβών. Μηφαάθ Jos 13, 18. φυλῆς Βενιαμίν. καὶ ἄλλη δέ ἐστιν ἐπέκεινα τοῦ Ἰορδάνου, ἔνθα φρούριον ἐγκάθηται στρατιωτῶν παρὰ τὴν ἔρημον. 130 Μασφά Jos 13, 26. φυλῆς Γάδ, Λευίταις ἀφωρισμένη. καὶ ἄλλη δέ ἐστι νῦν Μασσηβὰ ἐν ὁρίοις Ἐλευθεροπόλεως ἐν βορείοις. ἔστι καὶ ἄλλη, φυλῆς Ἰούδα, ἀπιόντων εἰς Αἰλίαν. Μαναείμ Jos 13, 26. φυλῆς Γάδ, Λευίταις ἀφωρισμένη, ἐν τῇ Γαλααδίτιδι. Μωλαδά Jos 15, 26. φυλῆς Ἰούδα ἢ Συμεών. Μηδεβηνά Jos 15, 31. φυλῆς Ἰούδα. καὶ ἔστι νῦν Μηνοεὶς πλησίον Γάζης πολίχνη. κεῖται καὶ ἐν Ἡσαΐᾳ. Μαγδαλά Jos 15, 37. φυλῆς Ἰούδα. Μαρησά Jos 15, 44. φυλῆς Ἰούδα. ἔρημός ἐστι νῦν ὡς ἀπὸ σημείων β΄ Ἐλευθεροπόλεως. Μαών Jos 15, 55. φυλῆς Ἰούδα. ἐν ἀνατολαῖς τοῦ Δαρωμᾶ. Μαρώθ Jos 15, 59. φυλῆς Ἰούδα. Μαδδεί Jos 15, 61. φυλῆς Ἰούδα. Μασφά Jos 18, 26. φυλῆς Βενιαμίν. Μαχθώθ Jos 17, 7. φυλῆς Μανασσῆ. Μαραλά Jos 19, 11. ἀνάβασις Ζαβουλών. Μασάν Jos 19, 26. κλήρου Ἀσήρ. συνάπτει τῷ Καρμήλῳ κατὰ θάλασσαν, πόλις Λευίταις ἀφωρισμένη. Μεελέφ Jos 19, 33. ὅριον Νεφθαλείμ. Μαγδιήλ Jos 19, 38. κλήρου Νεφθαλείμ. καὶ ἔστι νῦν κώμη μεγάλη ἀπὸ ε΄ σημείων Δώρων, ἀπιόντων εἰς Πτολεμαΐδα. Ἀπὸ τῶν Κριτῶν. Μοσφεθάμ Richt 5, 16. Ἀ΄ τῶν κλήρων, Σ΄ τῶν μεταιχμίων. Μωρέ Richt 7, 1. βουνὸς οὕτω καλούμενος. 132 Μεννήθ Richt 11, 33. ἔνθα ἐπολέμησεν Ἰεφθαέ. καὶ νῦν ἐστι κώμη Μαανὶθ ἀπὸ δ΄ σημείων Ἐσβοῦς, ἀπιόντων εἰς Φιλαδελφίαν. Μαχμάς I Sam 13, 2. εἰς ἔτι νῦν κώμη μεγίστη ἐν ὁρίοις Αἰλίας Μαχμὰς ἐπικαλουμένη, ἀπὸ σημείων θ΄, πλησίον Ῥαμᾶ. Βασιλειῶν. Μεσσάβ I Sam 14, 1. «τῶν ἀλλο φύλων», πλησίον τῆς Γαβᾶ. Μαγδὼν ἢ Μαγρών I Sam 14, 2. ἔνθα ἐκαθέσθη Σαούλ. Μασσηφὰ «τῆς Μωάβ» I Sam 22, 3. ἔνθα φεύγων τὸν Σαοὺλ ὁ Δαυὶδ παρεγένετο. Μασερέθ I Sam 23, 14. ἔρημος, ἔνθα ἐκαθέσθη Δαυίδ. Α΄ ἐν ὀχυρώμασι, Σ΄ ἐν καταφυγαῖς, Θ΄ ἐν τοῖς σπηλαίοις. Μασβάκ II Sam 8, 8. πόλις ἀλλοφύλων, βασιλέως Ἀδραζάρ. Μελά, Γημελά II Sam 8, 13. Ἀ΄ Σ΄ φάραγξ τοῦ ἁλός. Μααχά II Sam 10, 6. χώρα βασιλέως Γεσσούρ. Μωδεείμ I Macc 2, 1. κώμη πλησίον Διοσπόλεως, ὅθεν ἦσαν οἱ Μακκαβαῖοι, ὧν καὶ τὰ μνήματα εἰς ἔτι νῦν δείκνυται. Μαψὰρ Τύρου II Sam 24, 7. Ἀ΄ ἔρυμα Τύρου, Σ΄ ὀχύρωμα Τύρου. Μασά I Kön 2, 35i; 9, 15. πόλις, ἣν ᾠκοδόμησε Σολομών. Μεεβρά I Kön 4, 12. Ἀ΄ ἀπὸ πέραν, Σ΄ ἐξ ἐναντίας. Μάκες I Kön 4, 9. πόλις ἄρχοντος Σολομών. 134 Μελώ I Kön 9, 15. πόλις, ἣν ᾠκοδόμησε Σολομών. Σ΄ Θ΄ τελείωσιν. Μαιδάν I Kön 9, 15. πόλις ἣν ᾠκοδόμησε Σολομών. Μέμφις Hos 9, 6. ἐν Ὠσηέ, πόλις Αἰγύπτου. καὶ ἐν Ἰεζεκιήλ. καὶ ἐν Ἱερεμίᾳ οἱ μετὰ Ἱερεμίου Ἰουδαῖοι κατῴκησαν ἐν Μέμφει. Μαχά Hos 9, 16. ἐν Ὠσηέ. Ἀ΄ Σ΄ τὰ ἐπιθυμήματα. Μίλητος Ez 27, 18. πόλις τῆς Ἀσίας. κεῖται ἐν Ἰεζεκιήλ. Μαριβώθ Ez 48, 28. «ἕως ὕδατος Μαριβώθ» Ἰεζεκιήλ. Ἀ΄ διαδικασμοῦ, Σ΄ ἀντιλογίας. Μωραθεί Micha 1, 1. ὅθεν ἦν Μιχαίας ὁ προφήτης, πρὸς ἀνατολὰς Ἐλευθεροπόλεως. Μασογάμ Jer 48, 1. χώρα Μωάβ, ὡς Ἱερεμίας. Μισώρ Jer 48, 21. χώρα Μωάβ, ὡς Ἱερεμίας. Μωφάθ Jer 48, 21. χώρα Μωάβ, ὡς Ἱερεμίας. κεῖται καὶ ἀνωτέρω Μηφαάθ. Μαών Jer 48, 23. χώρα Μωάβ, ὡς Ἱερεμίας. Μολχόμ Jer 49, 1. εἴδωλον Ἀμμών, ὡς Ἱερεμίας. Μαγεδάν Matth 15, 39. εἰς τὰ ὅρια Μαγεδὰν ὁ Χριστὸς ἐπεδήμησεν, ὡς ὁ Ματθαῖος. καὶ ὁ Μάρκος δὲ τῆς Μαγεδὰν μνημονεύει. καὶ ἔστι νῦν ἡ Μαγεδανὴ περὶ τὴν Γερασάν. Στοιχεῖον Ν. Ἀπὸ τῆς Γενέσεως. Ναΐδ Gen 4, 16. γῆ, ἔνθα κατῴκησε Κάϊν. ἑρμηνεύεται δὲ σάλος. 136 Νινευῆ Gen 10, 11. πόλις Ἀσσυρίων, ἣν ᾠκοδόμησεν Ἀσσούρ, ἐξελθὼν ἀπὸ γῆς Σενναάρ. ἔστι δὲ καὶ Ἰουδαίων εἰς ἔτι νῦν πόλις Νινευῆ καλουμένη περὶ τὴν Γωνίαν τῆς Ἀραβίας. Νααλιήλ Num 21, 19. πλησίον τοῦ Ἀρνωνᾶ, σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ναβαῦ Num 32, 3. ὄρος ὑπὲρ τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἰορδάνην ἀπέναντι Ἱεριχοῦς ἐν γῇ Μωάβ, ἔνθα ἐτελεύτησε Μωϋσῆς. καὶ δείκνυται εἰς ἔτι νῦν ἀπὸ ἕκτου σημείου Ἐσβοῦς εἰς δυσμάς. Ναβώθ̣ Num 32, 38̣. πόλις υἱῶν Ῥουβὶν ἐν χώρᾳ Γαλαάδ, ἧς καὶ Ἡσαΐας μέμνηται ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος», καὶ Ἱερεμίας. ἔστι δὲ καὶ ἀνδρὸς ὄνομα Ναβαῦ, ὃς «τὴν Κανὰθ καὶ τὰς» περὶ αὐτὴν ἐπωνόμασεν ἐξ αὐτοῦ Ναβώθ. καὶ δείκνυται νῦν ἔρημος ἡ Ναβαῦ, διεστῶσα Ἐσβοῦς σημείοις η΄ εἰς νότον. Ναγέβ̣ Num 34, 3̣. ὁ νότος παρ' Ἑβραίοις. Σ΄ μεσημβρία. Ἀπὸ τοῦ Ἰησοῦ. Ναφεθδώρ̣ Jos 11, 2̣. Σ΄ ἐν τῇ παραλίᾳ Δώρᾳ. αὕτη ἐστὶν ἀπὸ θ΄ σημείων Καισαρείας. Ναφθώ̣ Jos 15, 9̣. πηγὴ ὕδατος οὕτω καλουμένη. φυλῆς Βενιαμίν. Ναάμ̣ Jos 15, 41̣. πόλις φυλῆς Ἰούδα. Νεσίβ̣ Jos 15, 43̣. φυλῆς Ἰούδα. ἔστι Νασὶβ στὰ θ΄ σημείων Ἐλευθεροπόλεως ἐπὶ Χεβρών. Νεβψάν̣ Jos 15, 62̣. φυλῆς Ἰούδα. Νααραθά̣ Jos 16, 7̣. φυλῆς Ἐφραΐμ. καὶ νῦν ἐστι Νοορὰθ κώμη Ἰουδαίων ἀπὸ ε΄ σημείων Ἱεριχοῦς. 138 Ναφέθ̣ Jos 17, 11̣. φυλῆς Μανασσῆ. Νααλὼλ̣ Jos 19, 15̣. κλήρου Ζαβουλών, πόλις Λευίταις ἀφωρισμένη. Νεκέβ̣ Jos 19, 33̣. κλήρου Νεφθαλείμ. Ἀπὸ τῶν Κριτῶν. Νεελά̣ Richt 1, 30̣. ἀπὸ ταύτης τοὺς ἀλλοφύλους «οὐκ ἐξῆρε» Ζαβουλών. κεῖται καὶ ἐν τῇ Βαταναίᾳ Νεειλά. Νοββά̣ Richt 8, 11̣. ἔνθα ἀνέβη Γεδεών. ἦν δὲ πόλις ἱερέων, ἣν κατέκοψε Σαούλ. Νεμρά̣ Jos 13, 27?̣. πόλις Ῥουβὶν ἐν γῇ Γαλαάδ. καὶ νῦν ἐστι Ναμαρὰ κώμη μεγίστη ἐν τῇ Βαταναίᾳ. Βασιλειῶν. Ναυϊώθ̣ I Sam 19, 18̣. «ἐν Ῥαμᾷ». πόλις, ἔνθα Δαυὶδ ἐκαθέσθη. Ναχών̣ II Sam 6, 6̣. «ἅλωνος Ναχών». Ἀ΄ ἅλωνος ἑτοίμης. Νεφάθ̣ I Kön 4, 11̣. πόλις ἄρχοντος Σολομών. Νηριγέλ̣ II Kön 17, 30̣. καὶ ταύτην ἔκτισαν ἐν τῇ Ἰουδαίᾳ οἱ ἀπὸ Βαβυλῶνος Σαμαρεῖται. Ναζέβ II Kön 17, 31̣. καὶ ταύτην ἔκτισαν οἱ ἐν τῇ Ἰουδαίᾳ Εὐαῖοι. Νεσαράχ̣ II Kön 19, 37̣. εἴδωλον Ἀσσυρίων. Νεβηρείμ̣ Jes 15, 6̣. Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος», καὶ Ἱερεμίας. καὶ ἔστι νῦν Βηνναμαρεὶμ ἐκ βορείων Ζοορῶν. Ναβεώθ̣ Jes 60, 7̣. χώρα ἐν Ἡσαΐᾳ. Ἀπὸ τῶν Εὐαγγελίων. Ναζαρέθ̣ Matth 2, 23̣. ὅθεν ὁ Χριστὸς Ναζωραῖος ἐκλήθη, καὶ Ναζαρηνοὶ τὸ παλαιὸν ἡμεῖς οἱ νῦν Χριστιανοί. καὶ εἰς ἔτι νῦν 140 ἐστιν ἐν τῇ Γαλιλαίᾳ ἀντικρὺ τῆς Λεγεῶνος ὡς ἀπὸ σημείων ιε πρὸς ἀνατολάς, πλησίον τοῦ ὄρους Θαβώρ. Ναείν̣ Luc 7, 11̣. κώμη, ἐν ᾗ τὸν υἱὸν τῆς χήρας ἐκ νεκρῶν ἤγειρε. καὶ νῦν ἐστι κατὰ νότον Θαβὼρ ἀπὸ ιβ΄ σημείων πλησίον Ἀενδώρ. Στοιχεῖον Ξ. Κριτῶν. Ξίλ̣ Jos 15, 30?̣. φυλῆς Ἰούδα. Στοιχεῖον Ο. Ἀπὸ τῆς Γενέσεως. Ὀρέχ̣ Gen 10, 10̣. πόλις βασιλείας Νεβρὼδ ἐν Βαβυλῶνι. Οὔρ τῶν Χαλδαίων̣ Gen 11, 28̣. ἔνθα «ἀπέθανεν Ἀρρὰν» ἀδελφὸς Ἀβραάμ, οὗ καὶ ὁ τάφος εἰς ἔτι «νῦν δείκνυται». ἱστορεῖ Ἰώσιππος. Οὐλαμμαοῦς̣ Gen 28, 19̣. τὸ Ἑβραϊκὸν ἔχει Λουζά. αὕτη ἐστὶν ἡ καὶ κληθεῖσα Λουζὰ καὶ μετὰ ταῦτα Βαιθήλ. δεδήλωται ἀνωτέρω. ἔστιν δὲ καὶ ἄλλη Οὐλλαμὰ ἀπὸ ιβ΄ σημείων Διοκαισαρείας πρὸς ἀνατολάς. Ὀλιβαμά̣ Gen 36, 14̣. πόλις ἡγεμόνων Ἐδώμ. Ὀδολλάμ̣ Gen 38, 1̣. κεῖται καὶ ἀνωτέρω. μέμνηται αὐτῆς Ἡσαΐας. Ἀπὸ τῆς Ἐξόδου. Ὀθόμ̣ Ex 13, 20̣. δεύτερος σταθμός, ἔνθα ἦλθον ἀπὸ Σοκχώθ «παρὰ τὴν ἔρημον» ἐξελθόντες ἀπὸ Αἰγύπτου. Ἀπὸ τοῦ Ἰησοῦ. Ὀφέρ̣ Jos 12, 17̣. καὶ ταύτην ἐπολιόρκησεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. 142 Ὀολεί̣ Jos 19 25̣. πόλις κλήρου Ἀσήρ. Ὀφρά̣ I Sam 13, 17̣. ὁδὸς Ὀφρὰ ἐπὶ τὴν Σοάλ. Οὔς̣ Hiob 1, 1̣. ὅθεν ἦν Ἰώβ. ἐν χώρᾳ τῇ Αὐσίτιδι. Οὗς δὲ καὶ εἷς τῶν υἱῶν Ἡσαῦ ἐκαλεῖτο. Στοιχεῖον Π΄. Τῆς Πεντατεύχου. Πέτρα̣ Richt 1, 36̣. πόλις ἐν γῇ Ἐδὼμ τῆς Ἀραβίας, ἥτις ἐπεκλήθη Ἰεχθοήλ, ἣ καὶ Ῥεκὲμ παρὰ Ἀσσυρίοις ὀνομάζεται.Στοιχεῖον Ρ. Τῆς Πεντατεύχου. Ῥοωβώθ̣ Gen 10, 11̣. πόλις Ἀσσυρίων, ἣν ᾠκοδόμησεν Ἀσσούρ, ἐξελθὼν ἐκ γῆς Σενναάρ. Ῥοωβώθ̣ Gen 36, 37̣. πόλις ἄλλη, ἡ «παρὰ ποταμόν», ἔνθα ἦν βασιλεὺς Ἰδουμαίων. καὶ νῦν ἐστι φρούριον ἐν τῇ Γεβαληνῇ. Ῥαμεσσέ̣ Ex 1, 11̣. πόλις ἣν ᾠκοδόμησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Αἰγύπτῳ. οὕτω δὲ καὶ ἡ χώρα πᾶσα τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ κατῴκησεν Ἰακὼβ ἅμα τοῖς παισὶν αὐτοῦ. Ῥοώβ̣ Num 13, 22̣. δι' ἧς ἦλθον οἱ μετὰ Ἰησοῦ κατάσκοποι. καὶ ἔστι Ῥοὼβ κώμη ἀπὸ τετάρτου σημείου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σκυθοπόλεως. ἦν δὲ Λευίταις ἀφωρισμένη. Ῥαφακά. Num 33, 12. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Ῥαφιδίμ. Num 33, 14. τόπος τῆς ἐρήμου παρὰ τὸ Χωρὴβ ὄρος, ἐν ᾧ ἐκ «τῆς πέτρας» τῆς ἐν τῷ ὄρει Χωρὴβ ἐρρύησαν τὰ ὕδατα. καὶ ἐκλήθη ὁ τόπος πειρασμός. ἔνθα καὶ πολεμεῖ Ἰησοῦς τὸν Ἀμαλὴκ ἐγγὺς Φαράν. 144 Ῥαθμά. Num 33, 18. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. 144 Ῥεμμὼν Φάρες. Num 33, 19. σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ῥεσσά. Num 33, 21. σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Ῥαμώθ. Deut 4, 43. πόλις φυλῆς Γὰδ ἱερατική, τῶν φυγαδευτηρίων, ἐν τῇ Γαλααδίτιδι. καὶ νῦν ἐστιν ὡς ἀπὸ ιε´ σημείων Φιλαδελφίας πρὸς δυσμάς. Ῥεκέμ. Num 31, 8. αὕτη ἐστὶν Πέτρα πόλις τῆς Ἀραβίας. ἧς ἐβασίλευσε Ῥοκόμ, ὃν ἀνεῖλον οἱ υἱοὶ Ἰσραήλ. λέγεται δὲ καὶ αὐτὸς βασιλεὺς Μαδιάμ. Ἀπὸ τοῦ Ἰησοῦ. Ῥεμμών. Jos. 15, 32. φυλῆς Συμεὼν ἢ Ἰούδα. νῦν Ῥεμμών ἐστι πλησίον Αἰλίας κώμη ἐν βορείοις ἀπὸ σημείων ιε´. Ῥωγήλ. Jos 18, 16. πηγὴ οὕτω καλουμένη. ἐν κλήρῳ Βενιαμίν. Ῥαμά. Jos 18, 25. φυλῆς Βενιαμίν, πόλις Σαούλ, ἀπὸ ´ σημείων Αἰλίας εἰς βορρᾶν ἀπέναντι Βαιθήλ. μέμνηται αὐτῆς καὶ Ἱερεμίας. Ῥεκέμ. Jos 18, 27. φυλῆς Βενιαμίν. Ῥεμμών. Jos 19, 13. πέτρα Ῥεμμών. κλήρου Συμεὼν ἢ Ζαβουλών. Ῥαββώθ. Jos 19, 20. κλήρου Ἰσσάχαρ. ἔστιν εἰς ἔτι νῦν ἄλλη κώμη ἐν Ῥοββὼ ἐν ὁρίοις Ἐλευθεροπόλεως πρὸς ἀνατολάς. Ῥεθώμ. Jos 19, 21. κλήρου Ἰσσάχαρ. Ῥοώβ. Jos 19, 28. κλήρου Ἀσήρ, πόλις Λευίταις ἀφωρισμένη. Ῥαμά. Jos 19, 29. κλήρου Ἀσήρ, «ἕως πόλεως ὀχυρώματος Τυρίων.» Ῥαμά. Jos. 19, 36. κλήρου Νεφθαλείμ. Ῥεκκάθ. Jos. 19, 35. κλήρου Νεφθαλείμ. Ῥουμὰ. Richt. 9, 14. ἡ καὶ Ἀριμά. ἔνθα «ἐκάθισεν Ἀβιμέλεχ.» ἐν Κριταῖς. νῦν αὕτη Ῥεμφὶς λέγεται καὶ ἔστιν ἐν ὁρίοις Διοσπόλεως, ἥτις ἐστὶν Ἀριμαθαία. 146 Βασιλειῶν. Ῥεμμώθ. I Sam 30, 26f.. ἔνθα ἀπέστειλε Δαυὶδ «τῶν σκύλων.» Ῥαχέλ. I Sam 30, 26. 29. ἔνθα ἀπέστειλε Δαυὶδ «τῶν σκύλων.» Ῥεμμὼθ Γαλαάδ. I Kön 4, 13. κώμη νῦν ἐστιν ἐν τῇ Περαίᾳ παρὰ τὸν Ἰαβὸκ ποταμόν. κεῖται καὶ ἀνωτέρω. Ῥαββάθ. II Sam 12, 26. πόλις βασιλείας Ἀμμών. αὕτη ἐστὶν Φιλαδελφία. μέμνηται αὐτῆς καὶ Ἱερεμίας. Ῥαώς. II Sam 15, 32. ἔνθα ἦλθε Δαυίδ. Ἀ´ Σ´ τὴν ἄκραν. Ῥωγελλείν. II Sam 17, 27. ὅθεν ἦν Βερσελλεὶν ὁ Γαλααδίτης. Ῥαφάειν. II Sam 23, 13. κοιλὰς ἀλλοφύλων κατὰ βορρᾶν Ἱερουσαλήμ. Ῥεμμάν. I Kön 15, 17. πόλις βασιλέων Συρίας πλησίον Δαμασκοῦ. Ῥέθ. I Kön 15, 20. ταύτην ἐπάταξεν Ἀσάφ. Ῥαθέμ. I Kön 19, 4. Ἀ´ ἄρκευθον, Σ´ σκέπην. Ῥεμμών. Jes 15, 9. Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Ῥασέφ. Jes 37, 12. πόλις Συρίας. Ῥαφέθ. Jes 37, 12. πόλις «ἐν χώρᾳ Θαιμὰν» τῶν Ἀσσυρίων. ἐν Ἡσαΐᾳ. Ῥεβλά. II Kön 23, 33. ἐν γῇ Αἰμάθ, ἔνθα Φαραὼ μετέστησεν Ἰωάχαζ. Ῥεμμά. Amos 4, 3?. ὄρος ἐν Ἡσαΐᾳ. Ἀ´ ὄρος Ἐρμωνά, Σ´εἰς Ἀρμενίαν. ἔστι δὲ καὶ κώμη Ἒν Ῥεμμοῦς ἐν τῷ Δαρωμᾷ. ἐν δὲ Βασιλείαις Ῥεμμὰν οἶκος εἰδώλου Δαμασκοῦ. Ῥεβλαθά. II Kön 25, 6. χώρα Βαβυλωνίων. Ῥαμαδέ. Zach 14, 10. Ἀ´ ὑψωθήσεται. ἐν Ζαχαρίᾳ. ἔστι δὲ 148 καὶ Ῥαμᾶ τοῦ Βενιαμὶν περὶ τὴν Βηθλεέμ, ἔνθα «φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη». Ῥινοκόρουρα. Jes 27, 12. Ἡσαΐας. πόλις Αἰγύπτου. Στοιχεῖον Σ. Ἀπὸ τῆς Γενέσεως. Σιδών. Gen 10, 15. πόλις ἐπίσημος Φοινίκης. ὅριον δὲ ἦν τὸ παλαιὸν τῶν Χαναναίων βόρειον, ὕστερον δὲ τῆς Ἰουδαίας, ἐπεὶ καὶ αὕτη γέγονε τῆς κληρονομίας τοῦ Ἰσραήλ. φυλὴ γοῦν Ἀσὴρ κεκλήρωτο, ἀλλ' «οὐκ ἐξῆρεν» αὐτῆς τοὺς ἀλλοφύλους ἡ φυλὴ Ἀσήρ, φησὶν ἡ γραφή. Σενναάρ. Gen 11, 2ff.. πεδίον Βαβυλῶνος, ἔνθα ὁ πύργος ᾠκοδομήθη. ἀφ' ἧς «ἐξῆλθεν Ἀσσοὺρ καὶ ᾠκοδόμησε τὴν Νινευῆ». μέμνηται δὲ αὐτῆς καὶ Ἰώσιππος λέγων οὕτως ἐν τῇ πρώτῃ τῆς ἀρχαιολογίας· «περὶ δὲ τοῦ πεδίου τοῦ λεγομένου Σενναὰρ ἐν τῇ Βαβυλωνίᾳ χώρᾳ μνημονεύει Ἑστιαῖος λέγων οὕτως· τῶν δὲ ἱερέων τοὺς διασωθέντας, τοῦ Ἐνυαλίου Διὸς ἱερώματα λαβόντας, εἰς Σενναὰρ τῆς Βαβυλωνίας ἐλθεῖν». 150 Συχὲμ. Gen 12, 6 ἡ καὶ Σίκιμα ἢ καὶ Σαλήμ. πόλις Ἰακὼβ νῦν ἔρημος. δείκνυται δὲ ὁ τόπος ἐν προαστείοις Νέας πόλεως, ἔνθα καὶ ὁ τάφος δείκνυται τοῦ Ἰωσήφ, καὶ παράκειται. καθεῖλεν δὲ αὐτὴν Ἀβιμέλεχ «καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσπειρεν αὐτὴν ἅλας», ὡς ἐν Κριταῖς. ἤγειρε δὲ αὐτὴν Ἱεροβοάμ, ὡς ἐν Βασιλείαις. κεῖται ἐν ὁρίοις κλήρου Ἐφραΐμ. Συχὲμ δὲ καὶ υἱὸς Ἐμμὼρ ἐκαλεῖτο, ἀφ' οὗ καὶ ὁ τόπος. ἦν δὲ καὶ Συχὲμ ἐν τῷ ὄρει Ἐφραΐμ, πόλις φυγαδευτηρίου. Σενναάρ̣ Gen 14, 1̣. ὅθεν ἦν Ἀμαρφὰλ ὁ πολεμήσας τοὺς ἀμφὶ τὴν Σόδομα. Σόδομα̣ Gen 14, 2̣. πόλις ἀσεβῶν ἀνδρῶν, ἀφανισθεῖσα περὶ τὴν νεκρὰν θάλασσαν. Σεβωείμ̣ Gen 14, 2̣. πόλις ἀσεβῶν περὶ τὴν Σοδομῖτιν ἀφανισθεῖσα. Σωφειρά̣ Gen 10, 30̣. «ὄρος ἀνατολῶν» πρὸς τῇ Ἰνδικῇ, παρ' ᾧ κατῴκησαν υἱοὶ Ἰεκτὰν υἱοῦ Ἐβέρ, οὕς φησιν Ἰώσιππος «ἀπὸ Κωφῆνος ποταμοῦ τῆς τε Ἰνδικῆς καὶ τῆς πρὸς αὐτῇ Σηρίας» κατασχεῖν. ἐντεῦθεν δὲ καὶ τῷ Σολομῶνι ἡ ναῦς καὶ τὸν φόρτον διὰ τριετοῦς ἐκόμιζεν χρόνου. Σοορά̣ Gen 14, 2̣. πόλις τῆς περιχώρου Σοδόμων, ἣ καὶ Σιγὼρ ὀνομάζεται καὶ Ζοορά. Σαυῆ̣ Gen 14, 5̣. πόλις ἀρχαία, ἐν ᾗ ᾤκουν οἱ Ἀμορραῖοι, ἔθνος, ὑπὲρ τὴν Σοδομῖτιν. οὓς ἀνεῖλε Χοδολλαγόμωρ. Σηείρ̣ Gen 14, 6̣. ὄρος γῆς Ἐδώμ, ἔνθα ᾤκει Ἡσαῦ, ἐν τῇ Γεβαληνῇ, ἀπὸ Ἡσαῦ κληθεῖσα· τετρίχωτο γάρ, ὅλος δασὺς ὤν, τρι 152 χωτὸς δὲ ἑρμηνεύεται Σηείρ. λέγει δὲ ἡ γραφὴ ὅτι καὶ πρὸ τοῦ Ἡσαῦ ὁ οἰκῶν τὸν τόπον Χορραῖος Σηεὶρ ἐκαλεῖτο, ὃν ἀνεῖλε Χοδολλαγόμωρ. μέμνηται τῆς Σηεὶρ καὶ Ἡσαΐας ἐν ὁράσει «τῆς Ἰδουμαίας». Σαλήμ̣ Gen 14, 18̣. πόλις Σικίμων, ἥτις ἐστὶ Συχέμ, ὥς φησιν ἡ γραφή. ἔστι δὲ καὶ ἄλλη κώμη * * * * * * * * * Σούρ̣ Gen 16, 7̣. * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * Σηγώρ̣ Gen 19, 22̣. * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * * εἰς ἔτι νῦν διαμένει. μέμνηται αὐτῆς Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Σκηναί̣ Gen 33, 17̣. οὗ ἐσκήνωσεν Ἰακώβ, ἐπανελθὼν ἐκ Μεσοποταμίας. Ἐξόδου. Σοκχώθ̣ Ex 12, 37̣. πρῶτος σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου πρὸ τῆς ἐρυθρᾶς θαλάσσης, ἐξελθόντων ἀπὸ Αἰγύπτου. Σίν̣ Ex 16, 1̣. ἔρημος ἡ μεταξὺ παρατείνουσα τῆς ἐρυθρᾶς θαλάσσης καὶ τῆς ἐρήμου Σινά. ἀπὸ γὰρ Σὶν ἦλθον εἰς Ῥαφιδίν, ἀπὸ 154 δὲ ταύτης «εἰς τὴν ἔρημον Σινά», παρὰ τὸ Σινὰ ὄρος, ἔνθα Μωϋσῆς τὴν νομοθεσίαν λαμβάνει. τὴν δὲ ἔρημον Σὶν τὴν αὐτὴν λέγει τῇ Κάδης ἡ παρ' Ἑβραίοις γραφή, ἀλλ' οὐχὶ ἡ τῶν Ο΄. Ἀριθμῶν καὶ Δευτερονομίου. Σελμωνά̣ Num 33, 41̣. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Σαφάρ̣ Num 33, 23̣. ὄρος Σαφάρ. ἐπὶ τῆς ἐρήμου σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Σαττείν̣ Num 25, 1̣. ἔνθα «ἐβεβηλώθη ὁ λαὸς πορνεῦσαι ἐν ταῖς θυγατράσι Μωάβ». παράκειται τῷ ὄρει Φογώρ. ἐντεῦθεν δὲ καὶ Ἰησοῦς ἀπέστειλε κατασκοπῆσαι τὴν Ἱεριχώ. Σαβαμά̣ Num 32, 3. 38̣. πόλις Μωὰβ ἐν Γαλαάδ, ἣν ἔλαβε φυλὴ Ῥουβίν. μέμνηται δὲ αὐτῆς καὶ Ἡσαΐας ἐν ὁράσει τῇ «κατὰ τῆς Μωαβίτιδος». Σελχά̣ Deut 3, 10̣. πόλις Ὢγ βασιλέως ἐν τῇ Βασανίτιδι. Σεννά̣ Num 34, 4̣. ὅριον τῆς Ἰουδαίας. καὶ ἔστι νῦν Μαγδαλσεννὰ ἀπὸ ὀγδόου σημείου Ἱεριχοῦς εἰς βορρᾶν. Σεφαμά̣ Num 34, 10̣. ὅριον τῆς Ἰουδαίας πρὸς ἀνατολάς. Σαδαδά̣ Num 34, 8̣. ὅριον τῆς Ἰουδαίας. Ἀπὸ τοῦ Ἰησοῦ. Σομερών̣ Jos 12, 20̣. καὶ ταύτην εἷλεν Ἰησοῦς, τὸν βασιλέα αὐτῆς ἀνελών. ταύτην λέγουσιν εἶναι Σεβαστήν, τὴν νῦν πολίχνην τῆς Παλαιστίνης. λέγεται δὲ ἐν Βασιλείαις Ζαμβρὶ βασιλέα Ἰσραὴλ ἐωνῆσθαι «τὸ ὄρος τοῦ Σεμερὼν παρὰ Σεμήρ», κτίσαι τε ἐπ' αὐτοῦ πόλιν καὶ ἐπονομάσαι Σεμηρὼν παρὰ τὸν Σεμήρ. 156 Σηειρά̣ Jos 11, 17̣. καὶ ταύτην εἷλεν Ἰησοῦς. Σελχά̣ Jos 13, 11̣. πόλις ἐν τῇ Βασανίτιδι. Σιώρ̣ Jos 15, 54̣. ἡ κατὰ πρόσωπον Αἰγύπτου. ἔστιν δὲ καὶ κώμη Σιὼρ μεταξὺ Αἰλίας καὶ Ἐλευθεροπόλεως. φυλῆς Ἰούδα. Σαόρθ̣ Jos 13, 19̣. φυλῆς Ῥουβὶν ὑπὲρ τὸν Ἰορδάνην. Σαχώθ̣ Jos 13, 27̣. φυλῆς Γὰδ ὑπὲρ τὸν Ἰορδάνην. Σαφών̣ Jos 13, 27̣. φυλῆς Γὰδ ὑπὲρ τὸν Ἰορδάνην. Σαχωράν̣ Jos 15, 11̣. φυλῆς Ἰούδα. Σαμά̣ Jos 15, 26̣. φυλῆς Ἰούδα. Σουάλ̣ Jos 15, 28̣. φυλῆς Ἰούδα ἢ Συμεών. Σικελάγ̣ Jos 15, 31̣. ταύτην ἔδωκεν Ἀγχοὺς τῷ Δαυίδ. φυλῆς Ἰούδα ἢ Συμεὼν ἐν τῷ Δαρωμᾷ. Σανσανά̣ Jos 15, 31̣. φυλῆς Ἰούδα. Σαλεεί̣ Jos 15, 32̣. φυλῆς Ἰούδα. Σαραά̣ Jos 15, 33̣. κώμη ἐστὶν ἐν ὁρίοις Ἐλευθεροπόλεως πρὸς βορρᾶν, ἀπιόντων εἰς Νικόπολιν ὡς ἀπὸ σημείων ι΄. φυλῆς Δὰν ἢ καὶ Ἰούδα. Σοκχώ̣ Jos 15,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

35̣. κῶμαί εἰσι δύο, ἀνιόντων ἀπὸ Ἐλευθεροπόλεως εἰς Αἰλίαν, ἐν τῷ ἐνάτῳ σημείῳ, ἡ μὲν ἀνωτέρα, ἡ δὲ κατωτέρα, Σοκχὼθ χρηματίζουσαι. φυλῆς Ἰούδα. Σαραείν̣ Jos 15, 36̣. φυλῆς Ἰούδα. Σενναάν̣ Jos 15, 37̣. φυλῆς Ἰούδα. Σαφείρ̣ Jos 15, 48̣. ἐν τῇ ὀρεινῇ κώμη ἐστὶν μεταξὺ Ἐλευθεροπόλεως καὶ Ἀσκαλῶνος. φυλῆς Ἰούδα. Σοκχώ̣ Jos 15, 48̣. ἀνωτέρω κεῖται ἡ Σοκχώ. λέγονται δὲ αὐτὴν κτίσαι οἱ ἀπὸ Βαβυλῶνος Σαμαρεῖται. Σκαχά̣ Jos 15, 61̣. φυλῆς Ἰούδα. Σηλώ̣ Jos 16, 6̣. φυλῆς Ἐφραΐμ. ἐν ταύτῃ κατέμενεν ἡ κιβωτὸς τὸ πρὶν μέχρι τῶν χρόνων Σαμουήλ, ἔστι δὲ Νέας πόλεως ἀπὸ σημείων ιβ´ ἐν τῇ Ἀκραβαττινῇ. Σηλὼμ δὲ καὶ Ἰούδα τοῦ πατριάρχου εἷς τῶν υἱῶν ἐκαλεῖτο. 158 Συχέμ̣ Jos 17, 7̣. πόλις φυλῆς Μανασσῆ, τὸ πρὶν οὖσα ἱερατικὴ τῶν φυγαδευτηρίων ἐν τῷ ὄρει Ἐφραΐμ, οὗ ἔθαψαν τὰ ὀστέα Ἰωσήφ. κεῖται καὶ ἀνωτέρω Συχέμ. Σάμς̣ Jos 18, 17̣. πηγὴ Σάμς. φυλῆς Βενιαμίν. Ἀ´ πηγὴ ἡλίου. Σεμρείμ̣ Jos 18, 22̣. φυλῆς Βενιαμίν. Σελά̣ Jos 18, 28̣. φυλῆς Βενιαμίν. Σαβέ̣ Jos 19, 2̣. φυλῆς Συμεών. Σαρίθ̣ Jos 19, 10̣. ὅριον Ζαβουλών. Σάμς̣ Jos 19, 12̣. Σ´ Θ´ ἡλίου. Σεμερών̣ Jos 19, 15̣. κλήρου Ζαβουλών. Σουνήμ̣ Jos 19, 18̣. κλήρου Ἰσσάχαρ. καὶ νῦν ἐστι κώμη Σουλὴμ ὡς ἀπὸ σημείων ε´ τοῦ Θαβὼρ ὄρους κατὰ νότον. Σιών̣ Jos 19, 19̣. κλήρου Ἰσσάχαρ. καὶ νῦν ἐστι παρὰ τὸ ὄρος Θαβώρ. Σασιμά̣ Jos 19, 22̣. ὅριον Ἰσσάχαρ. Σιώρ̣ Jos 19, 26̣. κλήρου Ἀσήρ. Σενναneίν̣ Jos 19, 33̣, δρυός. ὅριον Νεφθαλείμ. Σωρήκ̣ Jos 19, 41̣. κλήρου Δάν, ἔνθα ἦν Σαμψών, πλησίον τῆς λεγομένης Ἐσθαόλ. Σαμές̣ Jos 19, 41̣. κλήρου Δάν. κεῖται καὶ ἀνωτέρω Βεθσαμύς. Σαλαβείν̣ Jos 19, 42̣. κλήρου Δάν. ἀλλὰ καὶ νῦν ἐστι κώμη ἐν ὁρίοις Σεβαστῆς Σαλαβὰ καλουμένη. Σεφέθ̣ Richt 1, 17̣. τῶν Χαναναίων. Ἀπὸ τῶν Κριτῶν. Σειρωθά̣ Richt 3, 26̣. ἔνθα κατέφυγεν Ἀώδ. κεῖται καὶ ἀνωτέρω Σηειρά. Σοὺρ Ὠρήβ̣ Richt 7, 25̣. Ἀ´ πέτρα Ὠρήβ. Σελμών̣ Richt 9, 48̣. ὄρος, ἐφ' ᾧ ἀνέβη Ἀβιμέλεχ πολεμῶν τὴν Σίκιμα. 160 Σεφινά̣ Richt 12, 1̣. Ἀ´ Σ´ βορρᾶν. Σωρήχ̣ Richt 16, 4̣. χειμάρρους, ὅθεν ἦν Δαλιδὰ ἡ τοῦ Σαμψών. ἔστι δὲ καὶ κώμη ἐν βορείοις Ἐλευθεροπόλεως Σωρὴχ λεγομένη. πλησίον ἐστὶ Σαραά, ὅθεν ἦν Σαμψών. Βασιλειῶν. Σωφείμ̣ I Sam 1, 1̣. ἐν ὄρει Ἐφραῒμ τῆς Ἁρμαθαίμ. Σαλισά̣ I Sam 9, 4̣. ἣν διῆλθε Σαούλ. Σεννά̣ I Sam 14, 4̣. ὄνομα πέτρας. Σααλείμ̣ I Sam 9, 4̣. ἣν διῆλθε Σαούλ. κώμη ἐστὶν ἐν ὁρίοις Ἐλευθεροπόλεως πρὸς δυσμαῖς, ὡς ἀπὸ σημείων ζ´. Σείφ̣ I Sam 9, 5̣. ἔνθα εὗρε Σαοὺλ τὸν Σαμουήλ. Σαβείμ̣ I Sam 13, 18̣. ἔνθα ἐπολέμησε Σαούλ. Σωνάμ̣ I Sam 28, 4̣. ὅθεν ἦν ἡ Σωμανῖτις. κώμη ἐστὶν ἐν ὁρίοις Σεβαστῆς ἐν τῇ Ἀκραβαττινῇ Σανὶμ καλουμένη. Σαφαμώθ̣ I Sam 30, 28̣. ἔνθα ἀπέστειλε Δαυίδ. Σεειρά̣ II Sam 3, 26̣. φρέαρ, ὅθεν ἀπέστρεψεν Ἰωὰβ τὸν Ἀβεννήρ. Σουβά̣ II Sam 8, 3̣. ταύτης τὸν «βασιλέα ἐπάταξεν» Δαυίδ. Σαρθάν̣ I Kön 4, 12̣. ὑποκάτω Ἰεζραέλ. Σωφειρὰ̣ I Kön 9, 28; 10, 11̣ ἡ καὶ Σουφείρ. ἔνθεν ἤρχετο ἡ ναῦς Σολομών. κεῖται καὶ ἀνωτέρω. ὄρος ἀνατολῶν ἐν τῇ Ἰνδικῇ. Σερωρά̣ I Kön 11, 26̣. πόλις ἀπιόντων εἰς Ἐδώμ. Σαβά̣ I Kön 10, 1̣. πόλις Αἰθιόπων βασιλική, ἥν φησιν Ἰώσιππος Καμβύσην ὀνομάσαι Μερόην, ἐξ ἰδίας ἀδελφῆς ἐπιθέντα τοὔνομα. Σελά̣ II Kön 12, 21̣. ἔνθα ἐπατάχθη Ἰωάς. Σεφφαρουέμ̣ II Kön 17, 24̣. ὅθεν μετελθόντες Ἀσσύριοι τὴν Σαμάρειαν ᾤκησαν, ἐξ ὧν οἱ Σαμαρεῖται. μέμνηται καὶ Ἡσαΐας αὐτῆς. Σαδημώθ̣ I Kön 23, 4̣. ἔνθα κατέκαυσε τὰ εἴδωλα Ἰωσίας. 162 Σαρεπτά̣ I Kön 17, 9̣. κώμη Σιδῶνος ἐπίσημος, ἔνθα παρῴκησεν Ἡλίας. Σαρών̣ Jes 33, 9̣. Ἡσαΐας· «ἕλη ἐγένετο ὁ Σαρών». καὶ νῦν δὲ καλεῖται Σαρωνᾶς ἡ ἀπὸ τοῦ ὄρους Θαβὼρ ἐπὶ τὴν Τιβεριάδα λίμνην χώρα. καὶ ἄλλος ἐστὶ Σαρωνᾶς ἡ ἀπὸ Καισαρείας εἰς Ἰόππην χώρα. Σεφηλά̣ Jes 32, 19̣. ἐν Ἡσαΐᾳ. Ἀ´ πεδινή, Σ´ κοιλάς. καὶ εἰς ἔτι νῦν Σεφηλὰ καλεῖται. αὕτη ἐστὶν πᾶσα ἡ περὶ τὴν Ἐλευθερόπολιν πεδινὴ χώρα πρὸς βορρᾶν καὶ δυσμάς. Σενναάρ̣ Micha 1, 11̣. ἐν Μιχαίᾳ. Ἀ´ Σενναάν, Σ´ εὐθηνοῦσα. Σεδράχ̣ Zach 9, 1̣. γῆ τῆς Δαμασκοῦ. ἐν Ζαχαρίᾳ. Σιών̣ Zach 9, 9̣. ὄρος ἐν Ἱερουσαλήμ. Σαμάρεια̣ Ez 16, 46̣. πόλις βασιλικὴ τοῦ Ἰσραήλ, ἡ νῦν Σεβαστή, καὶ ἡ περὶ αὐτὴν χώρα. Σόρ̣ Ez 26, 2̣. Τύρος, Φοινίκης μητρόπολις.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κλήρου Νεφθαλείμ. Σοηνή̣ Ez 29, 10̣. πόλις Θηβαΐδος. ἐν Ἰεζεκιήλ. Σάις̣ Ez 30, 15̣. πόλις Αἰγύπτου * * * * * Σάδαλα̣ Ez 47, 15̣. ὅριον τῆς Ἰουδαίας, ὡς ἐν Ἰεζεκιήλ. Σαβαρείμ̣ Ez 47, 16̣. «ἀνὰ μέσον ὁρίων Δαμασκοῦ καὶ Αἰμάθ», ὡς ἐν Ἰεζεκιήλ. Σαλισά ̣Jer 48, 34̣. Ἀ΄ τριετής, ὡς ἐν Ἰερεμίᾳ. 164 Συχάρ̣ Joh 4, 5̣. πρὸ τῆς Νέας πόλεως πλησίον τοῦ χωρίου, οὗ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἐν ᾗ ὁ Χριστὸς κατὰ τὸν Ἰωάννην τῇ Σαμαρείτιδι παρὰ τῇ πηγῇ διαλέγεται. καὶ εἰς ἔτι νῦν δείκνυται. Στοιχεῖον Τ. Ἀπὸ τῆς Γενέσεως. Τίγρις Gen 2, 14̣. ποταμὸς ἀπὸ τοῦ παραδείσου ἐξιών, φερόμενος μέν, ὡς ἡ γραφή, «κατέναντι Ἀσσυρίων», ἐκπίπτων δὲ «ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν», ὥς φησιν Ἰώσιππος, καλεῖσθαί τε Τίγριν διὰ τὴν ὀξύτητα, ἐμφερῶς τῇ τοῦ ὁμωνύμου ζῴου προσηγορίᾳ. Τερέβινθος ἡ ἐν Σικίμοις Gen 35, 4̣. ὑφ' ἣν ἔκρυψε «τοὺς θεοὺς τοὺς ἀλλοτρίους» Ἰακώβ, πλησίον Νέας πόλεως. Ἀπὸ τοῦ Ἰησοῦ. Τινά ̣Jos 15, 22̣. φυλῆς Ἰούδα. Τελέμ̣ Jos 15, 24̣. φυλῆς Ἰούδα. Τεσσάμ̣ Jos 15, 52?̣. φυλῆς Ἰούδα. Τύρος̣ Jos 19, 35̣. φυλῆς Νεφθαλείμ. Κριτῶν. Ταβάθ̣ Richt 7, 22̣. ἔνθα ἐπολέμησαν τὴν Μαδιάμ. Τώβ̣ Richt 11, 3̣. γῆ, ἔνθα κατῴκησεν Ἰεφθαέ. Ταφέθ̣ II Kön 23, 10̣. «ἐν φάραγγι υἱοῦ Ἐννόμ», ἔνθα εἰδωλολατρεῖ ὁ λαός, ἐν προαστείοις Ἱερουσαλήμ. Τάνις Jes 19, 11̣. πόλις Αἰγύπτου. ἐν Ἡσαΐᾳ καὶ ἐν Ἰεζεκιήλ. Ταφνάς Hos 9, 6?̣. πόλις Αἰγύπτου. ἐν Ὠσηὲ καὶ ἐν Ἰεζεκιὴλ καὶ ἐν Ἱερεμίᾳ. ἔνθα κατῴκησαν οἱ μετὰ Ἱερεμίου εἰσελθόντες εἰς Αἴγυπτον Ἰουδαῖοι. 166 Τραχωνῖτις χώρα̣ Luc 3, 1̣ ἡ καὶ Ἰτουραία, ἧς ἐτετράρχει Φίλιππος κατὰ τὸν εὐαγγελιστὴν Λουκᾶν. κεῖται καὶ ἀνωτέρω. ἔστιν δὲ καὶ ἐπέκεινα Βόστρων κατὰ τὴν ἔρημον πρὸς νότον ὡς ἐπὶ Δαμασκόν. Στοιχεῖον Φ. Ἀπὸ τῆς Γενέσεως. Φεισών̣ Gen 2, 11̣. ἑρμηνεύεται πληθύς. ἔστιν δὲ ποταμὸς ὃν Ἕλληνες Γάγγην ὀνομάζουσιν· ἐκ μὲν τοῦ παραδείσου προϊών, ἐπὶ δὲ «τὴν Ἰνδικὴν φερόμενος ἐκδίδωσιν εἰς τὸ πέλαγος». λέγεται δὲ κυκλοῦν «πᾶσαν γῆν Εὐιλάτ», οὗ τὸ καλὸν χρυσίον καὶ «ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος». Φαράν̣ Gen 14, 6̣. πόλις ἐστὶν ὑπὲρ τὴν Ἀραβίαν, παρακειμένη τοῖς ἐπὶ τῆς ἐρήμου Σαρακηνοῖς, δι' ἧς ὥδευσαν οἱ υἱοὶ Ἰσραήλ, ἀπάραντες ἀπὸ Σινᾶ. κεῖται δὲ καὶ ἐπέκεινα τῆς Ἀραβίας ἐπὶ νότον, ἀπέχει δὲ Ἀϊλὰ πρὸς ἀνατολὰς ὁδὸν τριῶν ἡμερῶν, οὗ, φησὶν ἡ γραφή, κατῴκησεν Ἰσμαήλ, ὅθεν οἱ Ἰσμαηλῖται. λέγεται δὲ καὶ Χοδολλαγόμωρ κατασκῆψαι τοὺς ἐν τῇ «Φαράν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ». Φυλιστιείμ ̣Gen 21, 34̣. ἡ νῦν Ἀσκαλὼν καλουμένη, καὶ ἡ περὶ αὐτὴν χώρα τῆς Παλαιστίνης ἐπίσημος. Φρέαρ ὁρκισμοῦ̣ Gen 21, 30f̣.. ὃ ὤρυξεν Ἀβραάμ, ἔνθα ὤμοσεν. αὕτη νῦν καλεῖται Βηροσοβὰ ἐν τῇ Γεραριτικῇ. Φρέαρ ὁράσεως̣ Gen 24, 62̣. ἐπὶ τῆς ἐρήμου, ἔνθα κατῴκει Ἰσαάκ. Φρέαρ κρίσεως̣ Gen 26, 20f̣.. εἰς ἔτι νῦν ἐστι κώμη Βηρδὰν καλουμένη ἐν τῇ Γεραριτικῇ. 168 Φρέαρ ὅρκου̣ Gen 26, 33̣. ἔνθα ὤμοσαν Ἰσαὰκ καὶ Ἀβιμέλεχ. λέγεται δὲ καὶ πόλις Ἰσαάκ. καὶ πλείονά ἐστι φρέατα ἐν τῇ γραφῇ, καὶ εἰς ἔτι νῦν ἐν τῇ Γεραριτικῇ καὶ ἐπ' Ἀσκαλῶνος δείκνυται. Φανουήλ̣ Gen 32, 30̣. ἐν ᾧ πᾶσαν νύκτα παλαίσας Ἰακὼβ Ἰσραὴλ μετωνομάσθη παρὰ τὸν χειμάρρουν Ἰαβόκ. * * * * * οὕτως ἐν τῷ Ἑβραϊκῷ καλεῖται. Φογώρ̣ Gen 36, 39̣. πόλις Ἀδὰδ ἐν τῇ Γεβαλιτικῇ. Φινών̣ Gen 36, 41̣. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. ἦν δὲ καὶ πόλις ἡγεμόνων Ἐδώμ. αὕτη δέ ἐστι Φαινὼν ἔνθα τὰ μέταλλα τοῦ χαλκοῦ, μεταξὺ κειμένη Πέτρας πόλεως καὶ Ζωόρων. Ἐξόδου. Φιθώμ̣ Ex 1, 11̣. πόλις ἐν Αἰγύπτῳ, ἣν ᾠκοδόμησαν οἱ υἱοὶ Ἰσραήλ. Ἀριθμῶν καὶ Δευτερονομίου. Φάραγξ βότρυος̣ Num 13, 24f̣.. ὅθεν οἱ κατάσκοποι ἔλαβον καρπὸν εἰς δεῖγμα τῆς γῆς, ἥτις λέγεται εἶναι ἡ Γοφνά, ἄμπελος ἑρμηνευομένη, ἀπέχουσα Αἰλίας σημείοις ιε΄. κατὰ τὴν ὁδὸν τὴν εἰς Νέαν πόλιν ἄγουσαν. ζητεῖται δὲ εἰ ἀληθὴς ὁ λόγος. Φίν̣ Num 33, 42̣. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου. Φάραγξ Ζαρέ̣ Num 21, 12̣. μέρος τι τῆς ἐρήμου. Φρέαρ ἐπὶ τῆς ἐρήμου̣ Num 21, 16̣. ἔνθα ἦν ὁ λαός. Φαθουρά̣ Num 22, 5̣. ὑπὲρ τὴν Μεσοποταμίαν πόλις, ἔνθα ἦν Βαλαάμ. κεῖται δὲ καὶ πλησίον Ἐλευθεροπόλεως ἄλλη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τις κώμη Φαθουρά, κατιόντων εἰς Γάζαν. Φογὼρ Num 23, 28 καὶ Βηθφογώρ. ὄρος ἐν Μωάβ, ᾧ τὸν Βαλαὰμ ἤγαγεν ὁ Βαλάκ. ὑπέρκειται δὲ τῆς νῦν Λιβιάδος καλουμένης. ἔστι δὲ ἄλλη Φογὼρ κώμη πλησίον Βηθλεέμ. Φασγά Deut 3, 17. πόλις τῶν Ἀμορραίων. ἔστι δὲ καὶ ὄρος πρὸς ἀνατολὰς Φασγά. Ἀ΄ ἡ λαξευτή, καὶ οἱ Ο΄ ἀλλαχοῦ «τοῦ λαξευτοῦ». 170 Κριτῶν. Φανουήλ I Kön 12, 25. πόλις ἣν ᾠκοδόμησεν Ἱεροβοάμ. Φανουήλ Richt 8, 8. 17. πύργος, ὃν κατέστρεψε Γεδεών. ἐκαλεῖτο δὲ Φανουὴλ εἷς τῶν υἱῶν Ὤρ. Φρααθών Richt 12, 13ff.. ὅθεν ἦν Ἀβδὼν ὁ κριτὴς τοῦ Ἰσραὴλ «ἐν ὄρει τοῦ Ἀμαλήκ». Βασιλειῶν. Φάραγξ Ἐννόμ Jos 15, 8?. Γῆ Ἐννὸμ Ἑβραϊκῶς. διὸ τινέςφασιν εἶναι τὴν γέενναν. παράκειται δὲ τῇ Ἱερουσαλήμ, λέγεται δὲ εἰς ἔτι νῦν φάραγξ Ἰωσαφάτ. Φελμωνὶ ἀλμωνί I Sam 21, 2. Ἀ΄ τὸν δεῖνα τοῦδε τινός, Σ΄ τὸν δεῖνα τόπον, Θ΄ τόνδε τινὰ Ἑλμωνί. Φογώ I Chron 1, 50?. πόλις βασιλέως Ἐδώμ. Φαρφάρ II Kön 5, 12. ποταμὸς Δαμασκοῦ. Φαθωρί Ez 29, 14. χώρα Αἰγύπτου, ὡς ἐν Ἰεζεκιὴλ καὶ ἐν Ἱερεμίᾳ, ἔνθα κατῴκησαν οἱ Ἰουδαῖοι. Στοιχεῖον Χ. Ἀπὸ τῆς Γενέσεως. Χαλάννη Gen 10, 10. πόλις βασιλείας Νεβρὼδ ἐν Βαβυλῶνι. κεῖται καὶ ἐν Ἡσαΐᾳ· «Χαλάννη, οὗ ὁ πύργος ᾠκοδομήθη». Χαλάκ Gen 10, 11. πόλις Ἀσσυρίων, ἣν ᾠκοδόμησεν Ἀσσούρ, ἐξελθὼν ἐκ γῆς Σενναάρ. Χαρράν Gen 11, 31. αὕτη ἐστὶν εἰς ἔτι νῦν ἐπὶ τῆς Μεσοποταμίας Καρρὰ καλουμένη πόλις. Χεβρών Gen 13, 18. τὸ παλαιὸν ἐκαλεῖτο Ἀρβόκ. ἔκτισται δὲ προτέρα Τάνεως Αἰγύπτου «ἔτεσιν ζ΄». κεῖται καὶ ἀνωτέρω καὶ δεδήλωται. ἦν δὲ βασιλικὴ πόλις τῶν Ἐνακίμ. 172 Χωβά Gen 14, 15. «ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ». ἔστιν δὲ καὶ Χωβὰ κώμη ἐν τοῖς αὐτοῖς μέρεσιν, ἐν ᾗ εἰσιν Ἑβραίων οἱ εἰς Χριστὸν πιστεύσαντες, Ἐβιωναῖοι καλούμενοι. Χαβραθά Gen 35, 16. Ἀ΄ καθ' ὁδόν, ἄγουσαν εἰς Ἐφραθὰ τῆς Βηθλεέμ, ἔνθα τεκοῦσα Ῥαχὴλ τὸν Βενιαμὶν ἐτελεύτησεν. Χασβί Gen 38, 5. ἔνθα ἐτέχθησαν τῷ Ἰούδᾳ παῖδες. δείκνυται νῦν ἐν ὁρίοις ἔρημος Ἐλευθεροπόλεως πλησίον Ὀδολλάμ. Ἀριθμῶν καὶ Δευτερονομίου. Χωρήβ Deut 1, 2. ὄρος τοῦ θεοῦ ἐν χώρᾳ Μαδιάμ. παράκειται τῷ ὄρει Σινᾶ ὑπὲρ τὴν Ἀραβίαν ἐπὶ τῆς ἐρήμου. Χαραδάς Num 33, 24. σταθμὸς τῶν υἱῶν Ἰσραήλ. Χενερέθ Num 34, 11. θάλασσα, ὅριον τῆς Ἰουδαίας. κλήρου Νεφθαλείμ. Ἀπὸ τοῦ Ἰησοῦ. Χεφειρά Jos 9, 23. πόλις ὑπὸ τὴν Γαβαών. φυλῆς Βενιαμίν. Χασαλών Jos 15, 10. φυλῆς Βενιαμὶν ἐν ὁρίοις Αἰλίας κώμη μεγίστη. Χσίλ Jos 15, 30. φυλῆς Ἰούδα. Χαφθείς Jos 15, 40. φυλῆς Ἰούδα. Χερμέλ Jos 15, 55. φυλῆς Ἰούδα, κώμη μεγίστη Χερμὲλ ἐν τῷ Δαρωμᾷ, ὅθεν ἦν Ναβάλ, πλησίον Χεβρὼν πρὸς νότον. ἔνθα φρούρια κάθηται στρατιωτῶν. κεῖται καὶ ἀνωτέρω. Χαβών Jos 15, 40. φυλῆς Ἰούδα. Χειλών Jos 15, 51. φυλῆς Ἰούδα. 174 Χεφρεί Jos 18, 26?. φυλῆς Βενιαμίν. Χεσελὰθ Θαβώρ Jos 19, 12. κλήρου Ζαβουλών. Βασιλειῶν. Χεττιείμ Richt 1, 26. γῆ Χεττιεὶμ ἡ Κύπρος, ἔνθα πόλιν ἔκτισεν Λούζα. Χαρρεί II Sam 20, 14. ἔνθα ἐδίωξε τὸν Σαβεὲ ὁ Ἰωάβ. Χωμάρρειμ II Kön 23, 5. κατέκαυσεν ἐκεῖ τὰ εἴδωλα ὁ Ἰωσίας. Χαλάννη Jes 10, 9. «οὗ ὁ πύργος ᾠκοδομήθη», ὡς Ἡσαΐας. κεῖται καὶ ἀνωτέρω. Χαρράν Jes 37, 12. πόλις Ἀσσυρίων περὶ Θαιμάν, ὡς Ἡσαΐας. Χασελὰθ τοῦ Θαβώρ Jos 19, 12. ὅριον Ζαβουλών. κεῖται καὶ ἀνωτέρω Χεσσαλοῦς. Χωβάλ I Kön 9, 13. ὅριον Ἀσήρ. Χαλάβ Richt 1, 31?. «Ἀσὴρ οὐκ ἐξῆρεν» ἐκ ταύτης τοὺς ἀλλοφύλους. Χορρά I Kön 17, 3. χειμάρρους ἐπέκεινα τοῦ Ἰορδάνου. Χωθά II Kön 17, 24. χώρα Ἀσσυρίων. Χωβάρ Ez 1, 1. ποταμὸς Ἀσσυρίων, ὡς ἐν Ἰεζεκιήλ. Χαρχαμύς Jer 46, 2. πόλις παρὰ τὸν ποταμὸν Εὐφράτην. Χαμωάμ Jer 41, 17. κώμη πρὸς Βηθλεέμ. Χελὼν Jer 48, 21 ἡ καὶ Ἑλών. πόλις Μωάβ, ὡς ἐν Ἱερεμίᾳ. Χαμώς Jer 48, 7. εἴδωλον Μωάβ. Χοραζείν Matth 11, 21. κώμη τῆς Γαλιλαίας. ἣν ὁ Χριστὸς ταλανίζει κατὰ τὸ Εὐαγγέλιον. καὶ νῦν ἐστιν ἔρημος, διεστῶσα τῆς Καφαρναοὺμ σημείοις β΄. Χειμάρρους Κεδρῶν Joh 18, 1. πρὸ τῆς Ἱερουσαλήμ, ἔνθα ὁ Χριστὸς παρεδόθη, ὥς φησιν ὁ εὐαγγελιστὴς Ἰωάννης. 176 Στοιχεῖον Ω. Τῆς Πεντατεύχου. Ὤν Ex 1, 11. «ἥ ἐστιν Ἡλιούπολις». πόλις ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αἰγύπτῳ, ἣν καὶ αὐτὴν ᾠκοδόμησαν οἱ υἱοὶ Ἰσραὴλ κατὰ τοὺς Ο´· τὸ γὰρ Ἑβραϊκὸν οὐκ ἔχει, καὶ εἰκότως, προϋπῆρχε γὰρ τῆς εἰσόδου τῶν υἱῶν Ἰσραήλ, καὶ ἦν γε αὐτῆς ἱερεὺς ὁ τῆς Ἀσεννὲκ πατήρ. Ὢρ. Num 20, 22. 28. ὄρος ἐν ᾧ τελευτᾷ Ἀαρὼν πλησίον Πέτρας πόλεως, ἐν ᾧ καὶ εἰς ἔτι νῦν δείκνυται ἡ ἐπὶ Μωϋσέως ῥεύσασα πέτρα. Ὠβώθ. Num 21, 10. σταθμὸς τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ. Ἰησοῦ καὶ Βασιλειῶν. Ὢσα. Jos 19, 29. κλήρου Ἀσήρ. Ὠράμ. Jos 19, 38. κλήρου Νεφθαλείμ. Ὠφείρ. I Kön 9, 28. ὅθεν τὸ χρυσίον ἐφέρετο τῷ Σολομῶνι, ὡς ἐν Βασιλείαις. ἦν δὲ καὶ ἑνὸς τῶν ἀπογόνων Ἐβὲρ ὄνομα Οὐφείρ, οὗ τοὺς υἱοὺς «ἀπὸ Κωφῆνος ποταμοῦ τῆς Ἰνδικῆς καὶ τῆς πρὸς αὐτῇ Σηρίας» κατοικῆσαι Ἰώσιππος ἱστορεῖ, ἀφ' οὗ καὶ τὴν χώραν εἰκότως τῆς προσηγορίας τυχεῖν. Ὢν. Hos 10, 5. πόλις τῆς Σαμαρείας. τὸ δὲ Ἑβραϊκὸν περιέχει Αὖν. Ἀ´ Σ´ ἀνωφελοῦς, Θ´ τῆς ἀδικίας. Ὠλώ. Jer 48, 21. πόλις ἱερατική. Ὠροναείμ. Jer 48, 34. πόλις Μωάβ. ἐν Ἱερεμίᾳ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.